15. 3. Quippe Battus oraculum consuluerat de voce acquirenda; erat enim exiguus voce praeditus et balbutiens, ut ait Herodotus IV. 155; Apollo autem regnum quoque in Libya fundandum illi vaticinatur. Battus Libybus *regem* sonabat. Pythia vero *προληπτικῶς* locuta est. At Tzetzes chil. VI. 845. Battum a vocis *βατταρισμοῦ* dictitatum ait. MAI.

15. 4. Huc usque extat oraculum apud Herodot IV. 155. Reliqua neque apud Herodotum occurrunt neque apud Tzetzem. MAI.

βάρων ἀῤῥήτῳ συμφορᾷ περιπίπτοντας μὴ δύνωνται βοηθεῖν, ἀλλὰ τὰς ἑαυτῶν πολιὰς σπαράσσοντες πρὸς κωφὴν ὀδύρωνται τύχην;

XVII. Ὅτι Κροῖσος ὁ Λυδῶν βασιλεὺς μεγάλας κεκτημένος δυνάμεις πολὺν ἐκ παρασκευῆς σεσωρευκὼς ἄργυρόν τε καὶ χρυσὸν μετεπέμπετο τῶν Ἑλλήνων τοὺς σοφωτάτους, καὶ συνδιατρίβων αὐτοῖς μετὰ πολλῶν δώρων ἐξέπεμψε καὶ αὐτὸς πρὸς ἀρετὴν ὠφέλητο πολλά. ποτὲ δὲ τούτων μεταπεμψάμενος καὶ τὰς δυνάμεις καὶ τὸν πλοῦτον ἐπιδειξάμενος ἠρώτησεν εἴ τις ἕτερος αὐτοῦ δοκεῖ μακαριώτερος εἶναι. ὁ δὲ Σόλων τῇ συνήθει τοῖς φιλοσόφοις χρησάμενος παῤῥησίᾳ ἔφη μηδένα τῶν ζώντων εἶναι μακάριον· τὸν γὰρ ἐπ' εὐδαιμονίᾳ πεφρονηματισμένον καὶ δοκοῦντα τὴν τύχην ἔχειν συνεργὸν μὴ γινώσκειν εἰ διαμενεῖ μετ' αὐτοῦ μέχρι τῆς ἐσχάτης. σκοπεῖν οὖν ἔφησε δεῖν τὴν τοῦ βίου τελευτὴν καὶ τὸν διευτυχήσαντα τότε προσηκόντως λέγειν μακάριον. ὁ δὲ Κροῖσος ὕστερον γενόμενος αἰχμάλωτος ὑπὸ Κύρου καὶ μέλλων ἐπὶ μεγάλῃ πυρᾷ κατακαίεσθαι τῆς Σόλωνος ἀποφάσεως ἐμνημόνευσεν. διὸ καὶ τοῦ πυρὸς ἤδη περιφλέγοντος ἀνεβόα συνεχῶς τὸ τοῦ Σόλωνος ὄνομα. ὁ δὲ Κῦρος προσπέμψας τοὺς πυθομένους τίς ἡ συνεχὴς ἐστι τοῦ Σόλωνος ὀνομασία, μαθὼν τἀληθὲς μετέπεσε τοῖς λογισμοῖς καὶ νομίσας τὴν ἀπόκρισιν τοῦ Σόλωνος ἀληθινὴν εἶναι τῆς μὲν ὑπερηφανείας ἐπανίστατο, τὴν δὲ πυρὰν κατασβέσας ἔσωσε τὸν Κροῖσον καὶ τὸ λοιπὸν ἕνα τῶν φίλων κατηρίθμησεν.

Ὅτι ὁ Σόλων ἡγεῖτο τοὺς μὲν πύκτας καὶ σταδιεῖς καὶ τοὺς ἄλλους ἀθλητὰς μηδὲν ἀξιόλογον συμβάλλεσθαι 15

16. 5. σεσωρευκὼς] σεσωρηκὼς ed. Rom. Malim etiam καὶ πολύν.
16. 8. ἐξέπεμψε] ἐξέπεμψεν ed. Rom.
16. 8. ὠφέλητο] Cod. ὠφέλοιτο. MAI. qui dedit ὠφέλετο typothetae opinor culpa.
16. 10. ἠρώτησεν] ἠρώτηκεν ed. Rom.
16. 15. διαμενεῖ] διαμένει ed. Rom. et mox ἔφησεν.
16. 22. πυθομένους] immo πευσομένους.
16. 26. ἔσωσε] incipit codicis p. 346.

16. 3. Est haec concionis incertae particula, quam eclogarius prae ceteris adamatam retinuit. MAI.

16. 8. Diodorus dum haec quae sequuntur de VII. sapientibus et de Croeso scriberet respexit ad Herodotum I. 29 sqq. Neque id mirum; quum sibi videlicet Diodorus bibliothecam ex variis scriptoribus componendam proposuerit. Quis vero nescit in rebus quoque aegyptiis, quas libro primo late scribit Diodorus, Herodotum ducem esse sequutum? Ceteroquin et heic et alibi magnopere ab Herodoto Diodorus differt. Conferatur etiam Plutarchus in Solone XXVII, qui vicissim Diodorum expilat. MAI.

ταῖς πόλεσι πρὸς σωτηρίαν, τοὺς δὲ φρονήσει καὶ ἀρετῇ διαφέροντας μόνους δύνασθαι τὰς πατρίδας ἐν τοῖς κινδύνοις διαφυλάττειν.

XVIII. *Ὅτι περὶ τοῦ χρυσοῦ τρίποδος ἀμφισβητήσεως οὔσης ἡ Πυθία ἔχρησεν οὕτως,*

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;
τίς σοφίᾳ πρῶτος πάντων; τούτῳ τρίποδ᾽ αὐδῶ.

Οἱ δέ φασιν ἄλλως ὅτι πολέμου γενομένου τοῖς Ἴωσι πρὸς ἀλλήλους, καὶ τοῦ τρίποδος παρὰ σαγηνέων ἀνενεχθέντος, ἐπερωτῆσαι τὸν θεὸν περὶ τῆς καταλύσεως τοῦ πολέμου. ἡ δὲ ἔφη

οὔποτε μὴ λήξῃ πόλεμος Μερόπων καὶ Ἰώνων
πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος κάμε τεύχων,
ἐκ μέσσου πέμψητε, καὶ ἐς δόμον ἀνδρὸς ἵκηται
ὃς σοφίᾳ τά τε ὄντα τά τ᾽ ἐσσόμενα προδέδορκεν.

Ὅτι οἱ Μιλήσιοι ἀκολουθῆσαι βουλόμενοι τῷ χρησμῷ Θάλητι τῷ Μιλησίῳ τῶν ἑπτὰ σοφῶν τὸ ἀριστεῖον ἐβούλοντο δοῦναι· τὸν δ᾽ εἰπεῖν ὡς οὐκ ἔστι πάντων σοφώτατος, συμβουλεύειν δὲ πρὸς ἕτερον πέμπειν σοφώτερον. τούτῳ δὲ τῷ τρόπῳ καὶ τῶν ἄλλων τῶν ἑπτὰ σοφῶν ἀποποιησαμένων τὸν τρίποδα Σόλωνι δίδοσθαι
16 *δοκοῦντι πάντας ἀνθρώπους ὑπερβεβλῆσθαι σοφίᾳ τε*

17. 7. *πρῶτος πάντων*] Laërt. *πάντων πρῶτος*. MAI.
17. 12. *οὔ ποτε μὴ λήξῃ πόλεμος*] Laërt. *μὴ πρότερον λήξειν πόλεμον*. MAI.
17. 13. *κάμε τεύχων*] Laërt. *βάλε πόντῳ*, absurde. MAI.
17. 14. *ἐκ μέσσου*] Laërt. *ἐκ πόλιος*. MAI.
17. 15. *ὃς σοφίᾳ* etc.] Sic etiam varia lectio ab Stephano prolata apud Laërt. Verumtamen vulgatus ibi textus *ὃς δεδάηκε τά τ᾽ ἐόντα* etc. MAI.
17. 18. *ἔστι*] *ἔστιν* ed. Rom.
17. 21. *δίδοσθαι*] *διδόσθαι* ed. Rom.
17. 22. *ὑπερβεβλῆσθαι*] *ὑπερβεβαλῆσθαι* ed. Rom.

17. 1. Hinc a Solone imminuta athletarum praemia ait Laërtius I. 55. MAI.
17. 7. Extat hoc distichon etiam apud Laërtium in Thalete I. 28. MAI.
17. 11. Plutarchus in Solone cap. IV. ait bellum inter Ionas ipsius tripodis causa exarsisse; eo autem Diodorus noster tantummodo ait, bello flagrante, deprehensum fuisse a piscatoribus tripodem. MAI.
17. 12. Meropes intelliguntur Coi, suffragante Plinio V. 81. uti iam observavit Menagius ad Laërt. itemque Hyginus, uti monet Harduinus ad Plin. loc. cit. Cum Cois enim bellum gerebant Milesii, qui designantur nomine Ionum. MAI.
17. 15. Hi quoque extant quatuor versiculi apud Laërtium I. 33. MAI.

καὶ συνέσει. τὸν δὲ συμβουλεῦσαι τοῦτον ἀναθεῖναι Ἀπόλλωνι· τοῦτον γὰρ εἶναι σοφώτερον πάντων.

XIX. Ὅτι ὁ αὐτὸς πρὸς τῇ τοῦ βίου καταστροφῇ ὁρῶν Πεισίστρατον πρὸς χάριν λόγοις τὰ πλήθη δημαγωγοῦντα καὶ πρὸς τυραννίδα παρορμῶντα τὸ μὲν πρῶτον λόγοις ἐπεχείρησεν ἀποτρέπειν ταύτης τῆς ἐπιβουλῆς· οὐ προσέχοντος δὲ αὐτοῦ προῆλθεν εἰς τὴν ἀγορὰν μετὰ τῆς πανοπλίας παντελῶς ἤδη γεγηρακώς. συνδραμόντος δὲ τοῦ πλήθους πρὸς αὐτὸν διὰ τὸ παράδοξον παρεκάλει τοὺς πολίτας ἀναλαβεῖν τὰ ὅπλα καὶ παραχρῆμα καταλύειν τὸν τύραννον· οὐδενὸς δὲ αὐτῷ προσέχοντος, καὶ πάντων αὐτοῦ μανίαν καταγινωσκόντων, τινῶν δὲ παραγηρᾶν αὐτὸν ἀποφαινομένων, ὁ μὲν Πεισίστρατος ἤδη τινὰς δορυφόρους περιαγόμενος προσῆλθε τῷ Σόλωνι καὶ ἐπύθετο τίνι θαῤῥῶν τὴν τυραννίδα καταλύειν αὐτοῦ βούλεται, τοῦ δὲ εἰπόντος ὅτι τῷ γήρᾳ θαυμάσας τὴν φρόνησιν αὐτοῦ οὐδὲν αὐτὸν ἠδίκησεν.

Ὅτι τὸν παρανόμοις καὶ ἀδίκοις πράξεσιν ἐπιβαλόμενον οὐκ ἂν προσηκόντως σοφὸν νομίζεσθαι.

Ὅτι φασὶν Ἀνάχαρσιν τὸν Σκύθην φρονοῦντα ἐπὶ σοφίᾳ μέγα παραγενέσθαι Πυθῶδε καὶ ἐπερωτῆσαι τίς ἐστιν αὐτοῦ τῶν Ἑλλήνων σοφώτερος. καὶ εἰπεῖν

Οἰταῖόν τινά φασι Μύσωνα
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσιν,

ὅστις ἦν Μαλιεὺς καὶ ᾤκει τὴν Οἴτην εἰς κώμην Χηνὰς καλουμένην.

18. 13. παραγηρᾶν] παρὰ γῆραν ed. Rom.
18. 19. οὐκ] incipit codicis p. 347.
18. 24. ἀρηρότα] ἀρχήροτα ed. Rom.

18. 3. Reapse ait Phanias apud Plutarchum Sol. cap. XXXII, minus duobus annis Solonem superfuisse Pisistrati tyrannidi. MAI.
18. 6. Lege Plutarchum in Solone cap. XXIX. MAI.
18. 14. Videsis Plut. in Sol. cap. XXX, MAI.
18. 17. Quippe Pisistratus generis adfinitate attingebat Solonem teste Plutarcho; quam ob rem, nec non ob Pisistrati clementiam et Solonis philosophiam, dissensus eorum politicus ad nullam atrocitatem erupit, ut idem observat Plutarchus. MAI.
18. 23. Multo rectius se habent hi versiculi apud Laërtium I. 30. et 106.

Οἰταῖόν τινα φημὶ Μύσων᾽ ἐν Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

MAI.
18. 26. Cum his copulanda sunt quae leguntur in Diodori excerptis editis Wessel. T. II, p. 551—552. MAI.

17 Ὅτι ὁ Σόλων πολυπραγμονήσας τὸν τόπον ἐν ᾧ διέτριβε Μύσων κατέλαβεν αὐτὸν ἐπὶ τῆς ἅλω πρὸς ἄροτρον προςβαλόντα ἐχέτλην, καὶ πειραθεὶς τοῦ ἀνδρὸς ἔφη Οὐχ ὥρα νῦν ἀρότρου ὦ Μύσων, καὶ οὗτος Οὐ χρῆσθαι, εἰπεῖν, ἀλλ' ἐπισκευάζειν.

XX. Ὅτι Χίλων ἀφικόμενος εἰς Δελφοὺς καὶ καθάπερ ἀπαρχὰς ποιούμενος τῷ θεῷ τῆς ἰδίας συνέσεως ἐπέγραψεν ἐπί τινα κίονα τρία ταῦτα, Γνῶθι σεαυτόν, καὶ Μηδὲν ἄγαν, καὶ τρίτον Ἐγγύα, παρὰ δ' ἄτα. τούτων ἕκαστον ὑπάρχον βραχὺ καὶ Λακωνικὸν μεγάλην ἔχει τὴν ἀναθεώρησιν. τὸ γὰρ Γνῶθι σαυτόν παραγγέλλει παιδευθῆναι καὶ φρόνιμον γενέσθαι· οὕτω γὰρ ἄν τις ἑαυτὸν γνοίη· ἢ ὅτι οἱ ἄμοιροι παιδείας καὶ ἀλόγιστοι κατὰ τὸ πλεῖστον ἑαυτοὺς συνετωτάτους ὑπειλήφασιν, ἥπερ ἐστὶ τῶν ἀμαθιῶν ἀμαθεστάτη κατὰ τὸν Πλάτωνα, ἢ ὅτι τοὺς πονηροὺς ἐπιεικεῖς ἡγοῦνται, τοὺς δὲ χρηστοὺς ἀνάπαλιν φαύλους· μόνως γὰρ ἄν τις οὕτως ἑαυτὸν γνοίη καὶ ἕτερον, τυχὼν παιδείας καὶ συνέσεως περιττοτέρας. τὸ δὲ Μηδὲν ἄγαν μετριάζειν ἐν πᾶσι καὶ μηδὲ περὶ ἑνὸς τῶν ἀνθρωπίνων τελείως διορίζεσθαι, ὡς Ἐπιδάμνιοι. οὗτοι γὰρ τὸν Ἀδρίαν οἰκοῦντες καὶ πρὸς ἀλλήλους διαφερόμενοι μύδρους διαπύρους καταποντίσαντες ἐν μέσῳ τῷ πελάγει διωμόσαντο μὴ σπείσασθαι τὴν πρὸς ἀλλήλους ἔχθραν πρότερον ἕως ἂν οὗτοι θερμοὶ ἀνενεχθῶσιν. οὕτω δὲ σκληρῶς ὁμόσαντες
18 καὶ τὸ Μηδὲν ἄγαν οὐκ ἐπινοήσαντες ὕστερον ὑπὸ τῶν πραγμάτων ἀναγκαζόμενοι διελύσαντο τὴν ἔχθραν ἐάσαντες τοὺς μύδρους ψυχροὺς ἐν τῷ βυθῷ. τὸ δὲ Ἐγγύα, παρὰ δ' ἄτα τινὲς ὑπέλαβον γάμον ἀπαγορεύειν· τὴν

19. 1. *Σόλων*] immo *Χίλων*.
19. 5. *εἰπεῖν*] malim *εἶπεν*.
19. 6. *Χίλων*] *Χύλων* ed. Rom.
19. 11. *σαυτόν*] Ita cod. At superius *σεαυτόν*. MAI.
19. 25. *ὁμόσαντες*] *ὁμώσαντες* ed. Rom.

19. 1. Laërtius in Mysone I. 106. scribit Anacharsin pro Solone. Egnatius Rubeus in comm. laërtianis cap. IV. omni ope contendit scribendum Chilonem pro Anacharside; sed en Solonem a Diodoro habemus. Item Laërtius pro *ἐπὶ τῆς ἅλω* scribit *θέρους aestate*, quod quidem vocabulum his excerptis addendum iudico. MAI.

19. 9. *Ἐγγύα, παρὰ δ' ἄτα*] Tertiam hanc tantummodo tribuit Chiloni sententiam Laërtius I. 73. Huius delphicae epigraphes meminit etiam scholiastes a me editus ad odyss. VIII. 351. Aristotelici apud Clementem alex. strom. I. 14. tribuebant id effatum Thaleti. Idem Clemens VI. 2. ed. venet. T. II. p. 749. observat eandem sententiam extitisse apud Epicharmum. MAI.

19. 10. *Λακωνικόν*] Scilicet et ipse Chilo laco erat. MAI.

γὰρ τοῦ γάμου σύνθεσιν παρὰ τοῖς πλείστοις τῶν Ἑλλήνων ἐγγύην ὀνομάζεσθαι, καὶ βεβαιωτὴς ὁ κοινὸς βίος, ἐν ᾧ πλεῖσται καὶ μέγισται γίνονται συμφοραὶ διὰ τὰς γυναῖκας. ἔνιοι δέ φασιν ἀνάξιον εἶναι Χίλωνος διὰ τὸ μὴ δύνασθαι ἀναιρουμένου τοῦ γάμου διαμένειν τὸν βίον, τὴν δὲ ἄτην ἀποφαίνονται ἐγγύαις ταῖς ἐπὶ τῶν συμβολαίων καὶ ταῖς ὑπὲρ τῶν ἄλλων διομολογήσεσι περὶ χρημάτων. καὶ Εὐριπίδης

οὐκ ἐγγυῶμαι· ζημία φιλέγγυον.
σκοπεῖν· τὰ Πυθοῖ δ' οὐκ ἐᾷ τὰ γράμματα.

XXI. Ἔνιοι δέ φασι μὴ Χίλωνος εἶναι μηδὲ πολιτικὸν τὸ μηδενὶ τῶν φίλων ἐν ταῖς τοιαύταις χρείαις ἐπαρκεῖν, ἀλλὰ μᾶλλον τὰς καταβεβαιώσεις ἀπαγορεύειν καὶ τὸ κατατεταγμένως ἐγγυᾶσθαί τι καὶ διορίζεσθαι τῶν ἀνθρωπίνων, ὡς ποιῆσαι τοὺς Ἕλληνας ὅτε κατηγωνίσαντο τὸν Ξέρξην. ὤμοσαν γὰρ ἐν Πλαταιαῖς παραδώσειν παίδων παισὶ τὴν πρὸς τοὺς Πέρσας ἔχθραν, ἕως ἂν οἱ ποταμοὶ ῥέωσιν εἰς τὴν θάλασσαν καὶ γένος ἀνθρώπων εἴη καὶ γῆ καρποὺς φέροι· τὸ δὲ τῆς τύχης εὐμετάπτωτον βεβαίως ἐγγυώμενοι μετά τινα χρόνον ἐπρεσβεύοντο πρὸς Ἀρταξέρξην τὸν υἱὸν Ξέρξου περὶ φιλίας καὶ συμμαχίας.

20. 2. ἐγγύην] ἐγγυὴν ed. Rom., quae 19. 9. et 28. accentu carebat.
20. 3. μέγισται] Cod. μέγιστοι. MAI.
20. 4. Χίλωνα] Ita cod. Scribe Χίλωνος; nisi mavis interpretari *absurdum esse Chilonem.* MAI.
20. 9. οὐκ] incipit codicis p. 348.
20. 10. Πυθοῖ δ'] Πυθοῖδ' ed. Rom., interpunctione nulla nisi post ζημία posita.
20. 10. τὰ] scribendum videtur με, quod vertendo expressit Maius, vel γεγραμμένα: sed laborat versus initium.
20. 11. φασι] φασὶν ed. Rom.

20. 10. Scholiastes ad odyss. VIII. 80. Πυθοῖ τόπος ἐν Δελφοῖς, ἔνθα ἦν μαντεῖον Ἀπόλλωνος. Ibidem alius: Πυθοῖ πόλις Φωκίδος, ἡ αὐτὴ καὶ Δελφίς. MAI. Πυθοῖδε apparet hic minus etiam ferri posse quam ubi est in libris, Hesiodi Scuto v. 480., Nicolai Dam. p. 462. ed. Vales.

20. 10. Incognitus videtur hic Euripidis locus. Nam et vocabuli φιλέγγυος unicum video laudari Strabonem auctorem V. cap. I. 9, cui nunc accedit Euripides; quem quominus accuratius scruter, temporis angustiis excludor. MAI.

20. 16. Formulam ipsam iurisiurandi legesis apud Diodorum nostrum XI. 29, cui sacramento hae particulae iam addendae sunt. MAI.

20. 22. Lege Diodorum XII. 26. MAI.

Ὅτι ὁ Χίλωνος λόγος βραχὺς ὢν ὅλην περιείληφε τὴν πρὸς τὸν ἄριστον βίον ὑποθήκην, ὡς καὶ τῶν ἐν Δελφοῖς ἀναθημάτων βελτίω ταῦτα τὰ ἀποφθέγματα. αἱ μὲν γὰρ χρυσαῖ Κροίσου πλίνθοι καὶ τὰ ἄλλα [τὰ] κατασκευάσματα ἠφανίσθη καὶ μεγάλας ἀφορμὰς παρέσχε τοῖς ἀσεβεῖν εἰς τὸ ἱερὸν ἑλομένοις, αἱ δὲ γνῶμαι τὸν ἅπαντα χρόνον σώζονται ἐν ταῖς τῶν πεπαιδευμένων ψυχαῖς τεθησαυρισμέναι καὶ κάλλιστον ἔχουσαι θησαυρόν, πρὸς ὃν οὔτε Φωκεῖς οὔτε Γαλάται προσενεγκεῖν τὰς χεῖρας σπουδάσειαν.

XXII. *Ὅτι τῶν Μιτυληναίων διδόντων τῷ Πιττακῷ τῆς χώρας ὑπὲρ ἧς ἐμονομάχησε τὴν ἡμίσειαν οὐκ ἐδέξατο, συνέταξε δὲ ἑκάστῳ κληρῶσαι τὸ ἴσον, ἐπιφθεγξάμενος ὡς τὸ ἴσον ἐστὶ τοῦ πλείονος πλεῖον. μετρῶν γὰρ ἐπιεικείᾳ τὸ πλεῖον οὐ κέρδει σοφῶς ἐγίνωσκεν· ἐπὶ μὲν γὰρ ἰσότητι δόξαν καὶ ἀσφάλειαν ἀκολουθήσειν, τῇ δὲ πλεονεξίᾳ βλασφημίαν καὶ φόβον, δι' ὧν ταχέως ἂν αὐτοῦ τὴν δωρεὰν ἀφείλαντο.*

Ὅτι σύμφωνα τούτοις ἔπραξε καὶ πρὸς Κροῖσον διδόντα τῶν ἐκ τοῦ γαζοφυλακείου χρημάτων λαβεῖν ὁπόσα βούλοιτο. καὶ γὰρ τότε τὴν δωρεὰν οὐ προσδεξάμενόν φασιν εἰπεῖν καὶ νῦν ἔχειν ὧν ἤθελε διπλάσια. θαυμάσαντος δὲ τοῦ Κροίσου τὴν ἀφιλαργυρίαν καὶ περὶ τῆς ἀποκρίσεως ἐπερωτήσαντος εἰπεῖν ὡς τελευτήσαντος ἄπαιδος ἀδελφοῦ κεκληρονομηκὼς οὐσίαν εἴη τὴν ἴσην ἥπερ εἶχεν, ἣν οὐχ ἡδέως προσειληφέναι.

Ὅτι καὶ τὸν ποιητὴν Ἀλκαῖον, ἐχθρότατον αὐτοῦ γεγενημένον καὶ διὰ τῶν ποιημάτων πικρότατα λελοιδο-

21. 4. *χρυσαῖ*] *χρυσαὶ* ed. Rom. Mox dele *τά*.
21. 6. *ἀσεβεῖν*] *ἀσεβέσιν* ed. Rom.
21. 9. *ὃν*] *ὃ* ed. Rom.
21. 10. *σπουδάσειαν*] huic deest *ἂν* scriptoris fortasse culpa.
21. 12. *ἐμονομάχησε*] *ἐμονομάχησεν* ed. Rom. et mox *συνέταξεν*.
21. 14. *μετρῶν*] *μέτρων* ed. Rom., quem non esse typothetae errorem ostendit interpretatio *moduli aequitate*.
21. 15. *σοφῶς*] Cod. *σαφῶς*. MAI.

21. 4. *αἱ χρυσαῖ Κροίσου πλίνθοι*] De his lege Herodotum I. 50. MAI.
21. 9. *οὔτε Φωκεῖς οὔτε Γαλάται*] Intellige Philomeli et Brenni bellum. MAI.
21. 12. Lege Laërtium in Pittaco. MAI.
21. 14. Praeclara lectio *ἴσον* pro *ἥμισυ*; in qua explicanda (licet ab Hesiodo videatur sumpta) torquent se Laërtii interpretes loco praedicto. MAI.

ῥηκότα, λαβὼν ὑποχείριον ἀφῆκεν, ἐπιφθεγξάμενος ὡς συγγνώμη τιμωρίας αἱρετωτέρα.

XXIII. Ὅτι μέγα ἐστὶν οὐ τὸ δύναμιν ὅτου δήποτε 20 σχεῖν ἀλλὰ τὸ ταύτῃ δεόντως χρῆσθαι. ἐπεὶ τί ὄφελος Μίλωνι τῷ Κροτωνιάτῃ τὸ μέγεθος τῆς περὶ τὸ σῶμα ῥώμης;

Ὅτι Πολυδάμας ὁ Θετταλὸς ὑπὸ τῆς πέτρας διαῤῥαγεὶς πᾶσιν ἐποίησε φανερὸν ὡς ἐπισφαλές ἐστιν ἰσχὺν μεγάλην ἔχειν, νοῦν δὲ μικρόν.

Ὅτι τῶν Κιῤῥαίων πολιορκουμένων πολὺν ἤδη χρόνον διὰ τὸ τὸ χρηστήριον ἐπιχειρεῖν συλᾶν τινὲς μὲν τῶν Ἑλλήνων εἰς τὰς πατρίδας ἐπανῆλθον, οἱ δὲ ἐπερωτήσαντες τὴν Πυθίαν ἔλαβον χρησμὸν οὕτως,

οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες
πρίν κεν ἐμῷ τεμένει κυανώπιδος Ἀμφιτρίτης
κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.

XXIV. Ὅτι Περίλαος ὁ ἀνδριαντοποιὸς Φαλάριδι τῷ τυράννῳ κατασκευάσας βοῦν χαλκοῦν πρὸς τιμωρίαν τῶν

22. 1. ἐπιφθεγξάμενος] incipit codicis p. 201.

22. 14. ἐρίθετε] Codices sive apud Aeschinem sive apud Pausaniam variant ἐρείψετε, ἐῤῥίψετε, ἐρίψατε, ἐρίψετε. Priorem lectionem ab ἐρείπω *everto prosterno* in interpretatione secutus sum. MAI.

22. 15. ἢ ἐν] Var. lect. γε, τε, καί. MAI., qui reliquit codicis scripturam πρὶν ἢ ἐν.

22. 15. ἐμῷ τεμένει] Aesch. θεοῦ τεμένη. MAI.

22. 16. ποτικλύζει] Paus. Aesch. ποτικλύζῃ. MAI.

22. 16. ἱεραῖσιν ἐπ' ἀκταῖς] Ita etiam Aesch. Sed apud Pausaniam deterius ἐπὶ οἴνοπα πόντον. E laudatis auctoribus compertum est, regionem Cirrhaeorum ab Amphictyonibus fuisse consecratam, ut sic ipsa aliam iam antea sacram attingeret, quae erat maritima; ideoque universa sacra facta mare contingeret. MAI.

22. 2. Hanc sententiam, absque auctore, recitat Diodorus etiam in hoeschelianis eclogis editis lib. XXI. 8, eademque infra recurrit in vaticanis nostris excerptis. MAI. V. p. 44. ed. Rom.

22. 9. De Polydamante scripsisse Diodorum adfirmaverat Tzetzes chil. II. 459. At Wesselingius T. II. p. 640, nihil eiusmodi apud Diodorum reperiens, lapsum memoria Tzetzem iudicavit, quia de Polydamante loquuntur potius Pausanias VI. 5. et Suidas. Nunc demum vaticanus palimpsestus veracem Tzetzem declarat. Ipsam vero sententiam scribit etiam alibi Diodorus, nempe de Dioxippo pariter athleta loquens lib. XVII. 101. MAI.

22. 13. Lege Pausaniam X. 37; Plutarchum in Solone XI; Polyaenum III. 5; Aeschinem contra Ctes. 112. MAI.

22. 17. *Perillum* scribit Plinius XXXIV. sect. 19. et sic etiam Ovidius atque Propertius. Sed tamen et *Perilaus* aliquando legitur. MAI.

ὁμοφύλων αὐτὸς πρῶτος ἐπειράθη τοῦ μεγέθους τῆς τιμωρίας. οἱ γὰρ κατὰ τῶν ἄλλων βουλευόμενοί τι φαῦλον ὡς ἐπίπαν ταῖς ἰδίαις ἐπιθυμίαις εἰώθασιν ἁλίσκεσθαι.

Ὅτι Σόλων ὁ νομοθέτης παρελθὼν εἰς τὴν ἐκκλη-
σίαν παρεκάλει τοὺς Ἀθηναίους καταλύειν τὸν τύραννον
πρὶν τελέως ἰσχυρὸν γενέσθαι. οὐδενὸς δὲ αὐτῷ προς-
έχοντος ἀναλαβὼν τὴν πανοπλίαν προῆλθεν εἰς τὴν ἀγο-
21 ρὰν γεγηρακώς, καὶ τοὺς θεοὺς ἐπιμαρτυρόμενος ἔφησε
καὶ λόγῳ καὶ ἔργῳ τῇ πατρίδι κινδυνευούσῃ βεβοηθη-
κέναι τὸ κατ' αὐτὸν μέρος· τῶν δὲ ὄχλων ἀγνοούντων
τὴν ἐπιβουλὴν Πεισιστράτου συνέβη τὸν Σόλωνα τἀληθῆ
λέγοντα παραπέμπεσθαι. λέγεται δὲ Σόλων καὶ προειπεῖν
τοῖς Ἀθηναίοις τὴν ἐσομένην τυραννίδα δι' ἐλεγείων,

ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίνεται ἀστεροπῆς.
ἀνδρῶν ἐκ μεγάλων πόλις ὄλλυται, εἰς δὲ μονάρχου
δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσεν.
λείης δ' ἔξεραντα ῥαΐδιόν ἐστι κατασχεῖν

23. 8. ἔφησε] ἔφησεν ed. Rom.
23. 14. χαλάζης] Cod. θαλάττης. MAI.
23. 17. δουλοσύνην] Cod. δουλοσύνης. MAI.
23. 18. ἔξεραντα] Ita evidenter cod., quod vocabulum non explico. Sed neque ἐξέρασμα satis placebat. MAI. Si λείης integrum est, non difficile fuerit corruptae voci substituere quod cum ilio apte iungatur, quum non videatur dubium pro ῥαΐδιον sententiam poscere οὐ ῥῄδιον. Tum fortasse scribendum χρὴ περὶ πάντα νοεῖν. Caeterum simiiem sententiam in foro declamat Solon apud Plutarchum c. XXX. προῆλθεν εἰς ἀγορὰν καὶ διελέχθη πρὸς τοὺς πολίτας, τὰ μὲν κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν, τὰ δὲ παροξύνων ἔτι καὶ παρακαλῶν μὴ προέσθαι τὴν ἐλευθερίαν· ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς πρῴην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν.

28. 6. Haec paulo aliter dicta fuerunt superius. Eiusmodi repetitiones alibi quoque occurrunt in his vaticanis excerptis. Quum enim Porphyrogenitus Caesar diversos homines ad hunc laborem incumbere iusserit, mox eorum schedas in unum colligendas curaverit, interdum accidit (incautene an de industria?) ut quaedam excerpta, quae parumper inter se differrent, duplicata retinerentur. Similiter in dionysianis excerptis duo loci mihi occurrebant aliis verbis repetiti. Vide editionem meam Dionysii mediolanensem XVI. 8. XVII. 8. MAI.

23. 15. Extat hoc distichon apud Plutarchum in Solone cap. III. MAI. Varietatem scripturae in his versibus collegit Gaisfordus p. 340.

23. 17. Legitur alterum hoc distichon apud Diodorum XIX. 1, nisi quod pro *μονάρχου* scribitur *τυράννου*. Ita etiam apud Laërt. I. 50. Tertium quod sequitur apud neutrum auctorem est, neque in Brunckii analectis T. I. p. 71. MAI.

ὕστερον., ἀλλ' ἤδη χρὴ πάντα νοεῖν.
καὶ μετὰ ταῦτα τυραννοῦντος ἔφη
εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέραν κακότητα,
μὴ θεοῖσι ταύτην μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατ' ἐρύματα δόντες,
καὶ διὰ τοῦτο κακὴν ἔσχετε δουλοσύνην.
ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν κοῦφος ἔνεστι νόος.
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἴολον ἀνδρός, 22
εἰς ἔργον δ' οὐδὲν γινόμενον βλέπετε.

Ὅτι ὁ Πεισίστρατος παρεκάλει τὸν Σόλωνα τὰς ἡσυχίας ἔχειν καὶ τῶν τῆς τυραννίδος ἀγαθῶν συναπολαύειν· οὐδενὶ δὲ τρόπῳ δυνάμενος αὐτοῦ μεταθεῖναι τὴν προαίρεσιν, ἀλλ' ὁρῶν μᾶλλον ἀεὶ ἐξεγειρόμενον καὶ μετὰ ἀνατάσεως ἀπειλοῦντα τιμωρίαν ἐπιθήσειν, ἠρώτησεν αὐτὸν τίνι πεποιθὼς ἀντιπράττει ταῖς ἐπιβολαῖς αὐτοῦ. τὸν δέ φασιν εἰπεῖν τῷ γήρᾳ.

XXV. Ὅτι Κροῖσος ναυπηγῶν πλοῖα μακρά φασιν ἔμελλε στρατεύειν ἐπὶ τὰς νήσους. παρεπιδημοῦντα δὲ Βίαντα παρὰ τὰς νήσους καὶ θεωροῦντα τὴν ναυπηγίαν ὑπὸ τοῦ βασιλέως ἐρωτηθῆναι μή τι νεώτερον ἀκηκοὼς εἴη παρὰ τοῖς Ἕλλησι γινόμενον. τοῦ δὲ εἰπόντος ὅτι πάντες οἱ νησιῶται συνάγουσιν ἵππους διανοούμενοι στρατεύειν ἐπὶ Λυδούς, λέγεται τὸν Κροῖσον εἰπεῖν Εἴθε γάρ τις πείσειε νησιώτας σὺν ἵπποις παρατάξασθαι Λυδοῖς. ὁ δὲ Πιττακὸς ἢ Βίας ὑπολαβών φησιν Εἶτα Λυ-

24. 1. Ita laborat in codice versus. MAI.
24. 4. μὴ θεοῖσι ταύτην] Plut. et Laërt. μή τι θεοῖς τούτων. MAI. Quod hic scriptum, Solonis quidem non esse apparet.
24. 4. μοῖραν] Ita et Laërtius I. 52. At Plut. in Sol. XXX. μῆνιν. MAI.
24. 6. τοῦτο] Plut. et Laërt. ταῦτα. MAI.
24. 8. σύμπασιν] συμπᾶσι ed. Rom.
24. 8. κοῦφος] Ita et Laërt. At Plut. χαῦνος. MAI.
24. 9. ἔπος αἴολον] Ita et Laërt. At Plut. ἔπη αἱμύλου. quae lectio sumpta videtur ex praecedente Plutarchi capite. MAI.
24. 10. εἰς] incipit codicis p. 202.
24. 20. παρὰ] sententiae aptius παραπλεύσαντα, cuiusmodi quid exprimit Maii interpretatio *qui insulas circumnavigaverat*.
24. 24. εἴθε] εἶθε ed. Rom.

24. 5. ἐρύματα δόντες] **Intellige custodes corporis Pisistrato concessos. Cicer. de rep. I. 44. Plutarch. Solon. XXX. MAI.**
24. 9. Blandos Pisistrati sermones commemorat Plutarchus in Sol. XXIX. MAI.
24. 13. Extat hac super re Pisistrati ad Solonem epistula apud Laërt. I. 53. MAI.
24. 19. Lege Herodotum I. 27. MAI.

δοὺς μὲν ἤπειρον οἰκοῦντας σπεύδειν ἀποφαίνῃ λαβεῖν ἐπὶ γῆς νησιώτας ἄνδρας, τοὺς δὲ νῆσον οἰκοῦντας οὐκ οἴει θεοῖς εὔξασθαι λαβεῖν ἐν θαλάττῃ Λυδούς, ἵν' ὑπὲρ τῶν κατὰ τὴν ἤπειρον τοῖς Ἕλλησι συμβάντων κακῶν κατὰ πέλαγος ἀμύνωνται τὸν τοὺς συγγενεῖς καταδεδουλωμένον; ὁ δὲ Κροῖσος θαυμάσας τὸν λόγον παραχρῆμα μετενόησε καὶ τῆς ναυπηγίας ἀπέστη· τῶν γὰρ Λυδῶν ἱππεύειν εἰδότων ἐνόμιζε προτερεῖν αὐτοὺς πεζῇ.

23 XXVI. Ὅτι ὁ Κροῖσος μετεπέμπετο ἐκ τῆς Ἑλλάδος τοὺς ἐπὶ σοφίᾳ πρωτεύοντας ἐπιδεικνύμενος τὸ μέγεθος τῆς εὐδαιμονίας, καὶ τοὺς ἐξυμνοῦντας τὴν εὐτυχίαν αὐτοῦ ἐτίμα μεγάλαις δωρεαῖς. μετεπέμψατο δὲ καὶ Σόλωνα, ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν ἐπὶ φιλοσοφίᾳ μεγίστην δόξαν ἐχόντων, τὴν ἰδίαν εὐδαιμονίαν διὰ τῆς τούτων τῶν ἀνδρῶν μαρτυρίας ἐπισφραγίζεσθαι βουλόμενος. παρεγενήθη δὲ πρὸς αὐτὸν Ἀνάχαρσις ὁ Σκύθης καὶ Βίας καὶ Σόλων καὶ Πιττακός, οὓς ἐπὶ τὰς ἑστιάσεις κατὰ συνέδριον εἶχεν ἐν μεγίστῃ τιμῇ, τόν τε πλοῦτον αὐτοῖς ἐπιδεικνύμενος καὶ τὸ μέγεθος τῆς τούτου δυναστείας. παρὰ δὲ τοῖς πεπαιδευμένοις τῆς βραχυλογίας τότε ζηλουμένης, ὁ δὲ Κροῖσος ἐπιδειξάμενος τὴν τῆς βασιλείας εὐδαιμονίαν τοῖς ἀνδράσι καὶ τὸ πλῆθος τῶν κεχειρωμένων ἐθνῶν ἠρώτησεν Ἀνάχαρσιν ὄντα πρεσβύτερον τῶν σοφιστῶν τίνα νομίζει τῶν ὄντων ἀνδρειότατον. ὁ δὲ τὰ ἀγριώτατα τῶν ζῴων ἔφησε· μόνα γὰρ προθύμως ἀποθνήσκειν ὑπὲρ τῆς ἐλευθερίας. ὁ δὲ Κροῖ-

25. 5. τὸν — καταδεδουλωμένον] τῶν — καταδεδουλωμένων ed. Rom. ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις Herodotus.

25. 9. ἐκ τῆς Ἑλλάδος τοὺς] τοὺς ἐκ τῆς Ἑλλάδος ed. Rom.

25. 16. Σκύθης] Cod. σκύθος. MAI.

25. 17. ἐπὶ τὰς ἑστιάσεις] ad haec desidero παραλαμβάνων. Diodorus l. II. c. 24. (p. 137. 29.) πρὸς τὰς ἑστιάσεις καὶ κοινὰς ὁμιλίας ἐκτενῶς ἅπαντας παρελάμβανε.

25. 21. Κροῖσος] Χροῖσος ad. Rom.: incommodum autem δέ, quod praecedit.

25. 25. τὰ] incipit codicis p. 339.

25. 10. Confer Herodotum I. 29. Aliud est septem sapientium convivium, quod item in dialogos coniecit Plutarchus. MAI.

25. 12. μετεπέμψατο δὲ καὶ Σόλωνα, ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν — ἐχόντων. Simillimus locus est supra p. 14. 16. ποτὲ δὲ τούτων μεταπεμψάμενος.

25. 19. τούτου] Id est ἑαυτοῦ. Quod ipsum nolim reponendum dicere, etsi τούτου Diodoro non magis imputaverim quam eidem l. I. c. 1. (p. 4. 28. ed. Wess.) κοινὸν χρηματιστήριον ἀπέδειξαν τὰς ἑαυτῶν πραγματείας librorum quorundam scripturam ἐκείνων. Neutro enim pronomine tam duriter pro reflexivo utitur.

σος νομίσας ἡμαρτηκέναι αὐτόν, ἐν τῷ δευτέρῳ πρὸς χάριν αὐτῷ ποιήσασθαι τὴν ἀπόκρισιν ὑπολαβὼν ἠρώτησε τίνα δικαιότερον κρίνει τῶν ὄντων. ὁ δὲ πάλιν ἀπεφαίνετο τὰ ἀγριώτατα τῶν θηρίων· μόνα γὰρ κατὰ φύσιν ζῆν οὐ κατὰ νόμους· εἶναι γὰρ τὴν μὲν φύσιν θεοῦ ποίησιν, τὸν δὲ νόμον ἀνθρώπων θέσιν, καὶ δικαιότερον εἶναι χρῆσθαι τοῖς τοῦ θεοῦ ἢ τοῖς τῶν ἀνθρώπων εὑρήμασιν. ὁ δὲ διασῦραι βουλόμενος Ἀνάχαρσιν ἠρώτησεν εἰ καὶ σοφώτατα τὰ θηρία. ὁ δὲ συγκαταθέμενος ἐδίδασκεν ὅτι τὴν τῆς φύσεως ἀλήθειαν τῆς τοῦ νόμου φύσεως προτιμᾶν ἰδιώτατον ὑπάρχειν σοφίας. ὁ δὲ τούτου κατεγέλασεν ὡς ἐκ τῆς Σκυθίας καὶ θηριώδους διαγωγῆς πεποιημένου τὰς ἀποκρίσεις.

XXVII. Ἠρώτησε δὲ τὸν Σόλωνα τίνα τῶν ὄντων εὐδαιμονέστατον ἑώρακεν, ὡς τοῦτό γε πάντως ἀποδο- 24
θησόμενον ἑαυτῷ. τοῦ δὲ εἰπόντος ὡς οὐδένα δικαίως ἂν εἰπεῖν ἔχοι διὰ τὸ μηδενὸς τῶν ὄντων ἑωρακέναι τὸ τέλος τοῦ βίου, οὗ χωρὶς οὐδεὶς ἂν προσηκόντως μακάριος νομίζοιτο· πολλάκις γὰρ οἱ τὸν ἔμπροσθεν πάντα βίον εὐδαίμονες δόξαντες εἶναι πρὸς αὐτῇ τῇ τοῦ βίου καταστροφῇ μεγίσταις περιέπεσον συμφοραῖς· ὁ δὲ βασιλεὺς Οὐδὲ πλουσιώτατον ἄρα με κρίνεις; ἔφη. καὶ ὁ Σόλων τὴν αὐτὴν ἀπόκρισιν ποιησάμενος ἐδίδασκεν ὡς οὐ τοὺς πλεῖστα κεκτημένους ἀλλὰ τοὺς πλείστου ἀξίαν τὴν φρόνησιν ἡγουμένους νομιστέον πλουσιωτάτους· ἡ δὲ φρόνησις οὐδενὶ τῶν ἄλλων ἀντίῤῥοπος οὖσα μόνους ποιεῖ τοὺς αὐτὴν περὶ πολλοῦ ποιουμένους μέγιστον καὶ βεβαιότατον ἔχειν πλοῦτον. ἠρώτησε καὶ τὸν Βίαντα πότερον ὀρθῶς ἐποιήσατο τὴν ἀπόκρισιν ὁ Σόλων ἢ διήμαρτεν. ὁ δὲ ὑπειπὼν Ὀρθῶς ἔφη, τὰ γὰρ ἐν σοὶ βούλεται θεωρήσας ἀγαθὰ διαγνῶναι, νυνὶ δὲ τὰ παρὰ σοῦ μόνον ἑώρακεν· εἶναι δὲ δι' ἐκεῖνα μᾶλλον ἢ ταῦτα τοὺς ἀνθρώπους εὐδαίμονας. ὁ δὲ βασιλεὺς Ἀλλ' εἰ τὸν τῶν χρημάτων, ἔφησε, πλοῦτον μὴ προτιμᾷς, τό γε πλῆθος τῶν φίλων ὁρᾷς τοσοῦτον ὑπάρχον ὅσον οὐδενὶ τῶν ἄλλων. ὁ δὲ καὶ τοῦτον ἀπεφήνατο τὸν ἀριθμὸν ἄδηλον εἶναι διὰ τὴν εὐτυχίαν. πρὸς δὲ Πιττακὸν εἰπεῖν φασι Ποίαν ἑώρακας ἀρχὴν κρατίστην; τὸν δὲ ἀποκρι-

26. 2. ποιήσασθαι] Malim ποιήσεσθαι. MAI.
26. 10. νόμου φύσεως] an νόμου θέσεως?
26. 12. Σκυθίας] praestat Σκυθικῆς, quod Maii interpretatio reddidit.
26. 15. τοῦτο] Cod. τούτῳ. MAI.
26. 31. σοῦ] immo σοί.
26. 33. εἰ τὸν] Cod. ἧττον. MAI.
26. 38. φασι] φασὶν ed. Rom.

θῆναι τὴν τοῦ ποικίλου ξύλου, διασημαίνοντα τοὺς νόμους.

XXVIII. Ὅτι Αἴσωπος κατὰ τοὺς αὐτοὺς χρόνους συνήκμαζε τοῖς ἑπτὰ σοφοῖς καὶ εἶπεν ὡς οὐκ οἴδασιν οὗτοι ὁμιλεῖν δυνάστῃ· καὶ γὰρ ὡς ἥκιστα δεῖν ἢ ὡς ἥδιστα συμβιοῦν τοῖς τοιούτοις. αὐτὸς δὲ πεπλασμένως ἔλεγε τὴν μὲν γὰρ νίκην ἀρετῇ καὶ οὐ πολυπληθίᾳ χειρῶν περιγίνεσθαι.

25 Ὅτι ὁ Φάλαρις ἰδὼν περιστερῶν πλῆθος ὑφ' ἑνὸς ἱέρακος διωκόμενον ἔφη Ὁρᾶτε ὦ ἄνδρες τοσοῦτο πλῆθος ὑφ' ἑνὸς διωκόμενον διὰ δειλίαν; ἐπεί τοι γε εἰ τολμήσειαν ἐπιστρέψαι, ῥᾳδίως τοῦ διώκοντος ἂν περιγένοιντο. καὶ ἐκ τούτου τοῦ λόγου ἀπέβαλε τὴν δυναστείαν, ὡς γέγραπται ἐν τῷ περὶ διαδοχῆς βασιλέων.

Ὅτι Κροῖσος ἐπὶ Κῦρον τὸν Πέρσην ἐκστρατεύων ἐπύθετο τοῦ μαντείου. ὁ δὲ χρησμός,

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

ὁ δὲ τὸ ἀμφίβολον τοῦ χρησμοῦ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ἐκδεξάμενος ἐδυστύχησεν.

XXIX. Ὅτι πάλιν ἐπηρώτησεν εἰ πολὺν χρόνον ἕξει τὴν δυναστείαν. εἶπε δὲ τὰ ἔπη ταῦτα,

ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε Λυδὲ ποδαβρὲ πολυψήφιδα παρ' Ἕρμον
φεύγειν μηδὲ μένειν μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

27. 3 χρόνους] incipit codicis p. 340.
27. 7. ἔλεγε] ἔλεγεν ed. Rom.
27. 7. μὲν γὰρ] immo μέν.
27. 10. ὦ] ὁ ed Rom.
27. 13. ἀπέβαλε] ἀπεβάλετο ed. Rom.
27. 17. Ἅλυν] Ἄλυν ed. Rom,
27. 21. εἶπε] εἶπεν ed. Rom. et mox πολυψηφῖδα παρ' Ἑρμόν.

27. 2. Conf. Laërt. I. 77. MAI.

27. 4. Sane Aesopus loquitur in dialogis septem sapientium apud Plutarch. op. cit. MAI.

27. 6. Diodorus etiam XV. 7. scribit hanc sententiam, de Platone apud Dionysium tyrannum versante loquens. Plutarchus autem in Sol. XXVIII. refert etiam Solonis responsum: *nequaquam, Aesope, sed vel rarissime vel optime.* MAI.

27. 8. Sic Euripides Antiop. 77. σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας νικᾷ. MAI.

27. 13. Notemus hunc deperditum excerptorum titulum *de regum successione*, cuius nec Valesius nec Hoeschelius meminerunt. Obiter autem observo Sotionem, cuius Heraclides epitomen fecerat, scripsisse olim *de successionibus*, uti narrat Laërtius V. 79. MAI.

27. 17. Ἅλυν διαβὰς] Quippe Halys fluvius Croesi imperium a medico discernebat. Herodot. I. 103. MAI.

27. 17. Euseb. praep. V. 20. et alii auctores. MAI.

27. 24. Herodot. I. 55. MAI.

"Ότι ἡμίονον τὸν Κῦρον ἔφη διὰ τὸ τὴν μητέρα αὐτοῦ Μηδικὴν εἶναι, τὸν δὲ πατέρα αὐτοῦ Πέρσην.

"Ότι Κῦρος ὁ τῶν Περσῶν βασιλεὺς παραγενηθεὶς μετὰ πάσης δυνάμεως εἰς τὰ τῆς Καππαδοκίας στενὰ ἀπέστειλε κήρυκας πρὸς τὸν Κροῖσον τήν τε δυναστείαν αὐτοῦ κατασκεψομένους καὶ δηλώσοντας ὅτι Κῦρος αὐτὸν ἀφίησι τῶν πρότερον ἁμαρτημάτων καὶ Λυδίας καθίστησι σατράπην, ἂν ἐπὶ θύρας γενόμενος ὁμοίως τοῖς ἄλλοις ὁμολογῇ δοῦλος εἶναι. πρὸς οὓς ὁ Κροῖσος ἀπεκρίθη διότι προσηκόντως ἂν Κῦρος καὶ Πέρσαι Κροί- 26 σῳ δουλεύειν ὑπομένοιεν· ἐκείνους μὲν γὰρ τὸν ἔμπροσθεν χρόνον διατετελεκέναι Μήδοις δουλεύοντας, αὐτὸν δὲ οὐδέποτε πεποιηκέναι τὸ προσταττόμενον ὑφ' ἑτέρου.

"Ότι οἱ πονηροὶ κἂν αὐτίκα παρὰ τῶν ἀδικηθέντων τὴν τιμωρίαν ἐκκλίνωσιν, ἥ γε βλασφημία δι' αἰῶνος τηρουμένη καὶ τελευτήσαντας αὐτοὺς κατὰ τὸ δυνατὸν μετέρχεται.

XXX. "Ότι φασὶ τὸν Κροῖσον πρὸ τοῦ πρὸς Κῦρον πολέμου πέμψαι θεωροὺς εἰς Δελφοὺς ἐπερωτήσοντας πῶς ἂν ὁ υἱὸς αὐτοῦ δύναιτο φωνὴν προέσθαι. τὴν δὲ Πυθίαν εἰπεῖν

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλου πολύευκτον ἰὰν κατὰ δώματ' ἀκούειν
παιδὸς φθεγγομένου· τόδε σοι πολὺ λώιον ἀμφὶς
ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

"Ότι δεῖ τὴν εὐτυχίαν μετρίως φέρειν καὶ μὴ πεποιθέναι ταῖς ἀνθρωπίναις εὐπραξίαις ἐν μικρᾷ ῥοπῇ μεγάλας μεταβολὰς λαμβανούσαις.

"Ότι μετὰ τὸ γενέσθαι αἰχμάλωτον Κροῖσον καὶ τὴν πυρὰν σβεσθῆναι ἰδὼν τὴν πόλιν διαρπαζομένην καὶ πρὸς τοῖς ἄλλοις πολὺν ἄργυρόν τε καὶ χρυσὸν διαφορούμενον ἐπερωτῆσαι τὸν Κῦρον τί ποιοῦσιν οἱ στρατιῶται. τοῦ δὲ μετὰ γέλωτος ἀποκριθέντος ὡς Τὰ σὰ χρήματα διαρπάζουσι Μὰ Δία μὲν οὖν, εἰπεῖν, ἀλλὰ τὰ σά· Κροίσου γὰρ ἴδιον οὐκέτι οὐθὲν ὑπάρχει. ὁ δὲ Κῦρος θαυμάσας τὸν λόγον εὐθὺς

28. 7. ἀφίησι] ἀφίησιν ed. Rom.
28. 18. ἐπερωτήσοντας] ἐπηρωτήσοντας ed. Rom.
28. 19. ἂν] οὖν ed. Rom.
28. 22. ἰὰν] incipit codicis p. 249.
28. 22. δώματ'] δῶμ' ed. Rom.
28. 23. τόδε] τὸ δὲ ed. Rom.
28. 30. ἄργυρόν] ἀργύριόν ed. Rom.
28. 31. ἐπερωτῆσαι] ἐπηρωτῆσαι ed. Rom.
28. 34. εὐθὺς] εὐθὺ ed. Rom.

28. 11. Herodot. I. 102. MAI.
28. 24. Herodot. I. 85. MAI.

μετενόησε καὶ τοὺς στρατιώτας ἀνείρξας τῆς διαρπαγῆς εἰς τὸ βασιλικὸν ἀνέλαβε τὰς τῶν Σαρδιανῶν κτήσεις.

27 XXXI. Ὅτι Ἅρπαγος κατασταθεὶς ὑπὸ Κύρου τοῦ Πέρσου ἐπὶ τῆς θαλάσσης στρατηγὸς καὶ τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων πρὸς Κῦρον διαπρεσβευομένων συνθέσθαι φιλίαν εἰπεῖν πρὸς αὐτοὺς ὅτι παραπλήσιόν τι ποιοῦσι τῶν πρότερον ἑαυτῷ συμβάντων. καὶ γάρ ποτε γῆμαι βουλόμενον αἰτεῖσθαι παρὰ τοῦ πατρὸς τὴν κόρην· τὸν δὲ τὸ μὲν πρῶτον οὐκ ἄξιον κρίναντα τοῦ γάμου δυνατωτέρῳ κατεγγυῆσαι, μετὰ δὲ ταῦθ' ὁρῶντα αὐτὸν ὑπὸ τοῦ βασιλέως τιμώμενον διδόναι τὴν θυγατέρα· αὐτὸν δὲ ἀποκριθῆναι διότι γυναῖκα μὲν οὐκέτι ἂν ἔχοι αὐτήν, παλλακίδα δὲ συγχωρῆσαι λαβεῖν. διὰ δὲ τῶν τοιούτων λόγων ἐδήλου τοῖς Ἕλλησιν ὅτι Κύρου πρότερον ἀξιοῦντος γενέσθαι Περσῶν φίλους οὐκ ἐβουλήθησαν, νῦν δὲ ἐκ μεταβολῆς ἐκείνων σπευδόντων συνάψαι φιλίαν ὡς μὲν πρὸς συμμάχους οὐ ποιήσεται τὰς ὁμολογίας, ὡς δὲ δούλους εἰς τὴν τῶν Περσῶν πίστιν ἑαυτοὺς παραδιδόντας προσδέξεται.

Ὅτι Λακεδαιμόνιοι πυνθανόμενοι τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας κινδυνεύειν ἔπεμψαν πρὸς Κῦρον ὅτι Λακεδαιμόνιοι συγγενεῖς ὄντες τῶν κατὰ τὴν Ἀσίαν Ἑλλήνων ἀπαγορεύουσιν αὐτῷ καταδουλοῦσθαι τὰς Ἑλληνίδας πόλεις. ὁ δὲ θαυμάσας τὸν λόγον ἔφη γνώσεσθαι τὴν ἀρετὴν αὐτῶν ὅταν ἕνα τῶν ἑαυτοῦ δούλων πέμψῃ καταστρεψόμενον τὴν Ἑλλάδα.

XXXII. Ὅτι Λακεδαιμόνιοι τὴν Ἀρκαδίαν μέλλοντες καταστρέφειν ἔλαβον χρησμόν,

Ἀρκαδίαν μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ τοι δώσω.
πολλοὶ ἐν Ἀρκαδίᾳ βαλανηφάγοι ἄνδρες ἔασι,
οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι οὔτι μεγαίρω.
δώσω σοι Τεγέαν ποσσίκροτον ὀρχήσασθαι
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

29. 6. ποιοῦσι] ποιοῦσιν ed. Rom.
29. 12. ἂν ἔχοι] ἀνέσχοι ed. Rom.
29. 25. πέμψῃ] πέμψαι ed. Rom.
29. 29. μέγα] incipit codicis p. 250.

29. 2. Legesis Xenophontem Cyrop. VII. 2, qui summa in re cum Diodoro nostro conspirat; quamquam ille narrationem aliter digerit, neque tam sapiens dictum Croeso tribuit. MAI.

29. 8. Harpagus hic Cyrum parvulum Astyagis crudelitati subtraxerat, et strenuam belli operam eidem Cyro exhibuerat. Herodot. I. 111. MAI.

29. 24. Confer Herodotum I. 152. MAI.

29. 33. Herodot. I. 66. MAI.

Ὅτι οἱ Λακεδαιμόνιοι ἔπεμψαν εἰς Δελφοὺς περὶ τῶν ὀστέων Ὀρέστου τοῦ Ἀγαμέμνονος ἐν ποίῳ τινὶ τόπῳ κεῖνται. καὶ ἔχρησεν οὕτως,

ἔστι τις Ἀρκαδίας Τεγέη λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύω κρατερῆς ὑπ' ἀνάγκης
καὶ τύπος ἀντίτυπος καὶ πῆμ' ἐπὶ πήματι κεῖται.
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα·
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάῤῥοθος ἔσσῃ.

Ἦν δὲ χαλκεῖον. καὶ δηλοῖ τὰς φύσας, τύπον δὲ τὸν ἄκμονά φησι καὶ τὰς σφύρας, πῆμα δὲ ἐπὶ πήματος τὸν σίδηρον ἐπὶ σιδήρῳ· πῆμα γὰρ εἴρηται διὰ τὸ ἐπὶ κακῷ τῶν ἀνθρώπων εὑρῆσθαι.

κρεῖττον γὰρ εἶναι τελευτᾶν ἢ ζῶντας ἑαυτοὺς μετὰ τῶν συγγενῶν ἐφορᾶν ἄξια θανάτου πράττοντας.

XXXIII. Ὅτι κανηφορούσης ποτὲ τῆς θυγατρὸς Πεισιστράτου καὶ δοκούσης τῷ κάλλει διαφέρειν προσελθών τις τῶν νεανίσκων καταπεφρονηκὼς ἐφίλησε τὴν παρθένον. ἀκούσαντες δὲ οἱ τῆς κόρης ἀδελφοὶ βαρέως ἤνεγκαν τὴν ὕβριν, καὶ τὸν νεανίσκον ἀγαγόντες πρὸς τὸν πατέρα δίκην ἠξίουν διδόναι· ὁ δὲ Πεισίστρατος γελάσας Καὶ τί τοὺς μισοῦντας ἡμᾶς, ἔφη, ποιήσωμεν, ἐὰν τοὺς φιλοῦντας τιμωρίαις περιβάλωμεν;

Ὅτι ὁ αὐτὸς διαπορευόμενός ποτε διὰ τῆς χώρας κατενόησεν ἄνθρωπον κατὰ τὸν Ὑμηττὸν ἐργαζόμενον ἐν χωρίοις λεπτοῖς καθ' ὑπερβολὴν καὶ τραχέσι. θαυμάσας δὲ τὴν φιλεργίαν ἔπεμψε τοὺς ἐρωτήσοντας τί λαμβάνοι τοιαύτην χώραν ἐργαζόμενος. ὧν ποιησάντων τὸ προσταχθὲν ὁ ἐργάτης ἔφησε λαμβάνειν ἐκ τοῦ χωρίου 29
κακὰς ὀδύνας, ἀλλ' οὐθὲν αὐτῷ μέλειν· τούτων γὰρ τὸ μέρος Πεισιστράτῳ διδόναι. ὁ δὲ δυνάστης ἀκούσας τὸν

30. 4. *Τεγέη*] *Τεγέης* ed. Rom.
30. 9. *ἄνεμος δηλοῖ*] In cod. pro *ἄνεμος* est *καί*. MAI. Est opinor post *καί* lacuna.
30. 23. *ὁ αὐτὸς*] *αὐτὸς* ed. Rom.
30. 29. *μέλειν*] *μέλλειν* ed. Rom.

25. 17. Plutarchus apoph. ed. Reisk. T. VI. p. 716. *Thrasybulum* hunc adulescentem appellat; eumque ab uxore non a liberis Pisistrati accusatum narrat. MAI. Thrasybulum ab uxore Pisistrati accusatum dicit Valerius quoque Maximus V. 1. ext. 2; unde hanc historiam sumpsit Dantes etiam poëta etruscus, atque in suo *Purgatorio* recitavit lib. XV. IDEM in Add.

30. 26. *τὴν φιλεργίαν*] Quippe Pisistratus, teste Theophrasto, legem quoque tulerat adversus otiosos, quo agrum cultiorem redderet. Plutarch. Sol. XXXI. MAI.

λόγον καὶ γελάσας ἐποίησε τὸ χωρίον ἀτελές, καὶ ἐντεῦθεν ἡ παροιμία Καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν.

XXXIV. Ὅτι Σέρουιος Τύλλιος Ταρκυνίου ἐπιθεμένου παραγενηθεὶς εἰς τὸ βουλευτήριον καὶ θεασάμενος τὴν καθ' ἑαυτοῦ παρασκευὴν τοσοῦτον μόνον εἶπε Τίς ἡ τόλμα Ταρκύνιε; ὁ δὲ ὑπολαβὼν Ἡ μὲν οὖν σή φησι τίς, ὃς δουλέκδουλος ὢν Ῥωμαίων βασιλεύειν ἐτόλμησας καὶ τῆς τοῦ πατρὸς ἡγεμονίας ἡμῖν προσηκούσης παρὰ νόμους ἀφείλου τὴν οὐδὲ καθ' ἕνα σοι τρόπον ἐπιβάλλουσαν ἀρχήν; ταῦτα λέγων ἅμα προσέδραμε καὶ δραξάμενος τῆς τοῦ Τυλλίου χειρὸς ἔῤῥιψεν αὐτὸν κατὰ τῆς κρηπῖδος. καὶ διαναστὰς καὶ χωλεύων διὰ τὸ πτῶμα ἐπεχείρησε φυγεῖν, ἀπεκτάνθη δέ.

XXXV. Ὅτι ὁ Πυθαγόρας μετεμψύχωσιν ἐδόξαζε καὶ κρεοφαγίαν ὡς ἀποτρόπαιον ἡγεῖτο, πάντων τῶν ζώων τὰς ψυχὰς μετὰ θάνατον εἰς ἕτερα ζῶα λέγων εἰςέρχεσθαι. καὶ αὐτὸς δὲ ἑαυτὸν ἔφασκεν ἐπὶ τῶν Τρωι-

31. 7. ὃς] ὡς ed. Rom., sed recte interpretatio latina.
31. 9. τὴν] incipit codicis p. 269.
31. 10. δραξάμενος] δρεξάμενος ed. Rom.

31. 2. Proverb. Zenob. IV. 76. MAI. Idem Maius p. 570. ex Suida v. *σφακελισμὸς* **et** *καὶ σφάκελοι* **haec posuit tanquam** ***fragmentum quod nunc primum Diodori esse cognoscitur:*** *Πεισίστρατος ὁ τύραννος δεκάτην τῶν γεωργουμένων ἀπῄτει τοὺς Ἀθηναίους. παριὼν δέ ποτε καὶ ἰδὼν πρεσβύτην πέτρας ἐργαζόμενον καὶ τόπους λιθώδεις ἤρετο τὸν πρεσβύτην τίνας ἐκ τῶν τόπων κομίζοιτο τοὺς καρπούς. ὁ δὲ ἀπεκρίνατο Ὀδύνας καὶ σφακέλους, καὶ τούτων δεκάτην Πεισίστρατος φέρει. θαυμάσας δὲ ὁ Πεισίστρατος τὴν παῤῥησίαν αὐτοῦ τῆς δεκάτης ἀτέλειαν ἔδωκε. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο (Καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν).* **Quibus haec addit: „Hic locus iam editus a me est, etsi paulo contractior, „e vaticano palimpsesto p. 28—29. Palimpsestus ergo restituit Dio„doro fragmentum, quod apud Suidam erat** *ἀδέσποτον.*" **Suidas vero vix cogitavit de Diodoro, nedum ut eius verba fidelius quam codex Vaticanus reddiderit. Quidni enim alium ille auctorem habuerit fabulae decantatae, quam sic narrat Procopius in Villoisoni Anecd. II. p. 40.** *Πεισίστρατος δεκάτην τῶν ἐκ τῆς χώρας γινομένων φόρους τάξας τοῖς Ἀθηναίοις, ἐπειδὴ παρὰ τὸν Ὕμηττον διερχόμενος Ἀττικὸν εἶδε πρεσβύτην πέτραν ἐργαζόμενον καὶ τοῖς μόχθοις ἀπειρηκότα, πέπονθεν ὡς εἰκὸς ἐπ' αὐτῷ καὶ πέμψας ἠρώτα τίνας αὐτῷ καρποὺς ἡ πέτρα κομίζοι. ὁ δὲ καὶ λίαν στενάξας Ὀδύνας, ἔφη, καὶ κακῶν πλῆθος, καὶ τούτων τὴν δεκάτην δεῖ γενέσθαι τῷ Πεισιστράτῳ, εἶπε, παρεῖναι τὸν τύραννον ἀγνοῶν, καὶ εἰς Πεισίστρατον ἦλθεν ὁ λόγος, καὶ θαυμάσας ἐκεῖνος τῆς καρτερίας, μέγα τι νομίζων δωρεῖσθαι ἀτελῆ τὴν πέτραν ἀφῆκε τῷ γεωργῷ, καὶ ὡς εἰς μνήμην ἀρετῆς Ἀτελὲς ἐξ ἐκείνου τὸ χωρίον ἐπωνομάζετο.*

κῶν χρόνων μεμνῆσθαι γεγενημένον Εὔφορβον τὸν Πανθου μὲν υἱόν, ἀναιρεθέντα δὲ ὑπὸ Μενελάου.

Ὅτι φασὶν αὐτὸν ἐν Ἄργει ποτὲ παρεπιδημήσαντα καὶ θεασάμενον τῶν Τρωικῶν σκύλων ἀσπίδα προσηλωμένην δακρύειν. ἐρωτηθέντα δὲ ὑπὸ τῶν Ἀργείων τὴν τοῦ πάθους αἰτίαν εἰπεῖν ὅτι τὴν ἀσπίδα ταύτην εἶχεν αὐτὸς ἐν Τροίᾳ γεγονὼς Εὔφορβος. ἀπίστως δὲ διακειμένων καὶ μανίαν αὐτοῦ καταγινωσκόντων σημεῖον εὑρεῖν ἔφησεν ἀληθὲς τοῦ ταῦθ' οὕτως ἔχειν· ἐκ τοῦ γὰρ ἐντὸς μέρους ἐπιγεγράφθαι τὴν ἀσπίδα γράμμασιν ἀρχαίοις ΕΥΦΟΡΒΟΥ. πάντων δὲ διὰ τὸ παράδοξον εἰπόντων 30 *καθελεῖν τὴν εἰκόνα συνέβη τὴν ἐπιγραφὴν εὑρεθῆναι.*

Ὅτι Καλλίμαχος εἶπε περὶ Πυθαγόρου διότι τῶν ἐν γεωμετρίᾳ προβλημάτων τὰ μὲν εὗρε τὰ δὲ ἐκ τῆς Αἰγύπτου πρῶτος εἰς τοὺς Ἕλληνας ἤνεγκεν, ἐν οἷς ὅτ' ἐξεῦρε Φρὺξ Εὔφορβος, ὅστις ἀνθρώποις τρίγωνα καὶ σκαληνὰ καὶ κύκλον ἑπταμήκη ἐδίδαξε νηστεύειν τῶν ἐμπνεόντων, οἱ τάδ' οὐδ' ὑπήκουσαν πάντες.

XXXVI. *Ὅτι παρεκάλει τὴν λιτότητα ζηλοῦν· τὴν γὰρ πολυτέλειαν ἅμα τάς τε οὐσίας τῶν ἀνθρώπων διαφθείρειν καὶ τὰ σώματα. τῶν γὰρ νόσων τῶν πλείστων ἐξ ὠμότητος γινομένων αὐτὴν ταύτην ἐκ τῆς πολυτελείας γίνεσθαι. πολλοὺς δὲ ἔπειθεν ἀπύροις σιτίοις χρῆσθαι καὶ ὑδροποσίαις πάντα τὸν βίον, ἕνεκεν τοῦ τἀγαθὰ*

32. 8. *εὑρεῖν*] immo *ἐρεῖν*.
32. 15. *προβλημάτων*] *προβλήματα* ed. Rom.
32. 15. *εὗρε τὰ*] *εὑρετὰ* ed. Rom.
32. 16. *ὅτ'*] *ὃ*, opinor.
32. 17. *τρίγωνα καὶ σκαληνὰ*] immo *τρίγωνα σκαληνὰ*.
32. 18. *ἑπταμήκη*] an *παραμήκη*?
32. 18. *δίδαξε*] Ita evidenter codex. Censeo scribendum *ὑποτείνουσαν ἐδίδαξε*. MAI., qui vertit *qui homines docuit triangulum et scalenum et circulum. Ipse hypotenusam docuit; itemque abstinentiam* etc. Dedi *ἐδίδαξε*. Sed ante hoc est lacuna: sequentia enim ad Pythagoram pertinent. Incerta igitur postremorum correctio, praeter *οἷ* et *οὐχ*.
32. 23. *γενομένων*] aut *γινομένων* aut *γεννωμένων* scribendum.
32. 25. *τάγαθὰ*] *ταῦτα* ed. Rom. v. p. 32. ed. Rom.

32. 2. Euphorbi suprema fata spectare licet in tribus ambrosiani codicis a me editi vetustis picturis XLIX. L. LI. Est autem in hoc mendacio exornando abusus Pythagoras memoriae suae praestantia, qua celebris erat. Laërt. VIII. 4. MAI.

32. 14. *Καλλίμαχος*] Puta in commentariis historicis, vel in catalogo scriptorum libris CXX. comprehenso, quod utrumque opus ingenti et vano desiderio iamdiu deperditum requirimus. MAI.

θηρᾶσθαι τὰ κατὰ ἀλήθειαν. τῶν δὲ καθ' ἡμᾶς εἴ τις ἀπαγορεύσειεν ἢ ἑνὸς ἢ δυεῖν ἀπέχεσθαι τῶν ἡδέων εἶναι δοκούντων ἐπ' ὀλίγας ἡμέρας, ἀπεῖπον τὴν φιλοσοφίαν, φήσαντες εὔηθες ὑπάρχειν τἀφανὲς ἀγαθὸν ζητεῖν ἀφέντα τὸ φανερόν. κἂν μὲν δέῃ δημοκοπεῖν ἢ πολυπραγμονεῖν περὶ τῶν ἀλλοτρίων, σχολάζουσι καὶ ὑπ' οὐδενὸς ἐμποδίζονται· ἐὰν δὲ γίνεσθαι δέῃ περὶ παιδείαν καὶ τὴν τῶν ἠθῶν ἐπισκευήν, ἀκαιρεῖν φασιν· ὥςτε ἀσχολεῖσθαι μὲν εὐσχολοῦντας, σχολὴν δ' ἄγειν οὐ σχολάζοντας.

Ὅτι φασὶ τὸν Ταραντῖνον Ἀρχύταν τὸν ὄντα Πυθαγόρειον ἐπὶ μεγάλοις ἀδικήμασιν οἰκέταις ὀργισθῆναι, καὶ κατεξαναστάντα τοῦ πάθους εἰπεῖν ὡς οὐκ ἂν ἐγενήθησαν ἀθῷοι τηλικαῦτα ἁμαρτήσαντες, εἰ μὴ ἔτυχεν ὀργιζόμενος.

81 XXXVII. Ὅτι οἱ Πυθαγόρειοι μεγίστην ἐποιοῦντο πρόνοιαν τῆς πρὸς τοὺς φίλους βεβαιότητος, τὴν τῶν φίλων εὔνοιαν ἀξιολογώτατον ἀγαθὸν εἶναι τῶν ἐν τῷ βίῳ διειληφότες.

Ὅτι μέγιστον ἄν τις ἡγήσαιτο καὶ μάλιστα θαυμάσαι τὸ αἴτιον τῆς πρὸς τοὺς φίλους εὐνοίας. τίνες γάρ ποτε ἦσαν ἐθισμοὶ ἢ τίς τρόπος ἐπιτηδευμάτων ἢ τίς λόγου δεινότης δι' ἧς ἐνειργάζοντο τὴν τοιαύτην διάθεσιν τοῖς ἀφικνουμένοις εἰς τὴν τοῦ βίου κοινωνίαν; ταῦτα γὰρ πολλοὶ μὲν ἐπιθυμήσαντες γνῶναι τῶν ἔξωθεν ἐπεβάλοντο πολυπραγμονεῖν, οὐδέποτε δὲ οὐδεὶς μαθεῖν ἠδυνήθη. αἴτιον δὲ τοῦ διατηρεῖσθαι τὰς ὑπὲρ τούτων ὑποθήκας τὸ τοὺς Πυθαγορείους ὑπόστασιν ἔχειν

33. 1. τῶν] aptius τοῖς, quod vertit Maius.
33. 8. ὥςτε] incipit codicis p. 270.
33. 8. ἀσχολεῖσθαι] ἀσχολοῦσθαι ed. Rom.
33. 11. φασὶ] φασὶν ed. Rom.
33. 11. Πυθαγόρειον] πυθαγόριον ed. Rom. et hic et 16. et 28. et 34. 20. et 35. 26.

33. 1. De Pythagora et pythagoriis utiliter conferentur ea quae copiose scribunt Iamblichus, Laërtius, et Porphyrius, in commentariis de tanti philosophi vita et doctrina atque institutis; nec non Hierocles comment. ad aurea Pyth. carm. Et quidem apud Iamblichum in calce operis luculentus extat indiculus illustrium pythagoriorum. MAI.

33. 15. Quot auctores, quantaque cum varietate rem hanc narraverint, dixi ad Cic. de rep. I. 38. Adde iis Laërtium VIII. 20, qui Pythagorae id factum tribuit. MAI.

33. 28. Nota est pythagoria Timycha quae cruciatus acerbissimos a Dionysio tyranno passa, sectae tamen arcanum non revelavit. Iambl. cap. XXXI. MAI.

μηδὲν τοιοῦτο ποιεῖν ἔγγραφον, ἀλλὰ διὰ μνήμης ἔχειν τὰ παραγγελλόμενα.

XXXVIII. Ὅτι ὁ Πυθαγόρας πρὸς τοῖς ἄλλοις παρήγγελλε τοῖς μανθάνουσι σπανίως μὲν ὀμνύναι, χρησαμένους δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν καὶ πρὸς τέλος ἄγειν ὑπὲρ ὧν ἄν τις ὀμόσῃ πραγμάτων, οὐχ ὁμοίαν ἀπόφασιν ποιούμενος Λυσάνδρῳ τε τῷ Λάκωνι καὶ Δημάδῃ τῷ Ἀθηναίῳ, ὧν ὁ μὲν ἀπεφαίνετο τοὺς μὲν παῖδας δεῖν ἐξαπατᾶν τοῖς ἀστραγάλοις, τοὺς δὲ ἄνδρας τοῖς ὅρκοις, ὁ δὲ διαβεβαιούμενος ὅτι δεῖ τὸ λυσιτελέστατον ὥςπερ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τῶν ὅρκων αἱρεῖσθαι· ὁρᾶν δὲ τὸν ἐπιορκήσαντα παραχρῆμα ταῦτ' ἔχοντα περὶ ὧν ὤμοσε, τὸν δὲ ὁρκίζοντα φανερῶς τὸ ἴδιον ἀπολλύντα. τούτων γὰρ ἑκάτερος οὐ καθάπερ Πυθαγόρας ὑπεστήσατο τὸν ὅρκον εἶναι πίστεως ἐνέχυρον βέβαιον, ἀλλ' αἰσχροκερδείας καὶ ἀπάτης δέλεαρ.

XXXIX. Ὅτι Πυθαγόραν φασὶν ὑπό τινος ἐρωτη- 32
θέντα πότε χρηστέον ἀφροδισίοις εἰπεῖν Ὅταν ἑαυτοῦ θέλῃς ἥττων γενέσθαι.

Ὅτι οἱ Πυθαγόρειοι διῄρουν καὶ τὰς ἡλικίας τῶν ἀνθρώπων εἰς τέσσαρα μέρη, παιδός, νέου, νεανίσκου, γέροντος, καὶ τούτων ἑκάστην ἔφασαν ὁμοίαν εἶναι ταῖς κατὰ τὸν ἐνιαυτὸν τῶν ὡρῶν μεταβολαῖς, τὸ μὲν ἔαρ τῷ παιδὶ διδόντες, τὸ δὲ φθινόπωρον τῷ ἀνδρί, χειμῶνα τῷ γέροντι, τὸ δὲ θέρος τῷ νέῳ.

34. 5. *ὅρκοις*] *ὅρκοις* et *ὁρκίζοντα* constanter ed. Rom.
34. 6. *ὀμόσῃ*] *ὁμόσῃ* ed. Rom. et 13. *ὤμοσεν*.
34. 10. *διαβεβαιούμενος*] *διεβεβαιοῦτο* oportuerat.
34. 11. *οὕτω*] *οὕτως* ed. Rom.
34. 16. *αἰσχροκερδείας*] rectius *αἰσχροκερδίας*.
34. 18. *εἰπεῖν*] *εἶπε* ed. Rom.
34. 19. *ἥττων*] *ἧττον* ed. Rom.
34. 24. *τῷ π.*] incipit codicis p. 247.

34. 5. Praeceptum Pythagorae de iure iurando extat usque ad haec verba in valesianis excerptis Wessel. T. II. p. 555. Reliqua nunc adduntur. MAI.

34. 10. Polyaen. I. 45. MAI. Plutarchus vol. II. p. 330. *Διονύσιος δὲ ὁ τύραννος ἐκέλευε τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δ' ἄνδρας ὅρκοις ἐξαπατᾶν.*

34. 16. Flagitiosam Demadis tum dicendi tum agendi impudentiam passim lacerant prisci auctores; cuius dignas denique poenas ipse luit a Casandro diro supplicio necatus. MAI.

34. 21. Notandus aetatum ordo *νεάνισκος* **post** *νέος*. **Confer etiam Pollucem II. 11.** *Νεάνισκος* **quidem est** *adulescens*, **de quo latino vocabulo pauca olim dixi cap. IV. praef. ad Cic. de rep. XII. MAI.**

"Οτι ὁ αὐτὸς ἀπεφαίνετο τοῖς θεοῖς εὔχεσθαι δεῖν τὰ ἀγαθὰ τοὺς φρονίμους ὑπὲρ τῶν ἀφρόνων· τοὺς γὰρ ἀσυνέτους ἀγνοεῖν τί ποτέ ἐστιν ἐν τῷ βίῳ κατὰ ἀλήθειαν ἀγαθόν.

"Οτι ὁ αὐτὸς ἔφασκε δεῖν ἐν ταῖς εὐχαῖς ἁπλῶς εὔχεσθαι τἀγαθά, καὶ μὴ κατὰ μέρος ὀνομάζειν, οἷον ἐξουσίαν, κάλλος, πλοῦτον, τἄλλα τὰ τούτοις ὅμοια· πολλάκις γὰρ τούτων ἕκαστον τοὺς κατ' ἐπιθυμίαν αὐτῶν τυχόντας τοῖς ὅλοις ἀνατρέπειν. καὶ τοῦτο γνοίη ἄν τις ἐπιστήσας τοῖς ἐν ταῖς Εὐριπίδου Φοινίσσαις στίχοις, ἐν οἷς οἱ περὶ τὸν Πολυνείκην εὔχονται τοῖς θεοῖς, ὧν ἀρχὴ

βλέψας δ' ἐς "Αργος

ἕως

εἰς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν.

οὗτοι γὰρ δοκοῦντες ἑαυτοῖς εὔχεσθαι τὰ κάλλιστα ταῖς ἀληθείαις καταρῶνται.

XL. "Οτι Πυθαγόρας φιλοσοφίαν ἀλλ' οὐ σοφίαν ἐκάλει τὴν ἰδίαν αἵρεσιν. καταμεμφόμενος γὰρ τοῖς πρὸ αὐτοῦ κεκλημένοις ἑπτὰ σοφοῖς ἔλεγεν ὡς σοφὸς μὲν οὐδείς ἐστιν ἄνθρωπος ὢν καὶ πολλάκις διὰ τὴν ἀσθένειαν τῆς φύσεως οὐκ ἰσχύων πάντα κατορθοῦν, ὁ δὲ ζηλῶν τὸν τοῦ σοφοῦ τρόπον τε καὶ βίον προσηκόντως ἂν φιλόσοφος ὀνομάζοιτο.

33 Ἀλλ' ὅμως τηλικαύτης προκοπῆς γενομένης περί τε Πυθαγόραν αὐτὸν καὶ τοὺς μετ' ἐκεῖνον Πυθαγορείους καὶ τοσούτων ἀγαθῶν αἴτιοι γενόμενοι ταῖς πόλεσιν οὗτοι τὸν πάντα τὰ καλὰ λυμαινόμενον χρόνον οὐ διέφυγον· οὐδὲν γὰρ οἶμαι τῶν παρ' ἀνθρώποις καλῶς

35. 11. *Πολυνείκην*] *Πολυνίκην* ed. Rom.
35. 15. *στέρν'*] Cod. *στέρνες*. MAI.
35. 15. *βαλεῖν*] Cod. *λαβεῖν*. MAI.
35. 28. *λυμαινόμενον χρόνον*] *λοιμαινόμενον φθόνον* ed. Rom. Saepius hac sententia utitur Diodorus. L. I. c. 2. p. 5. 88. ed. Wess. *τὸν πάντα τἄλλα λυμαινόμενον χρόνον*. Exc. de Virt. et Vit. p. 556. 1. *χρόνος ὁ πάντα μαραίνων τἄλλα.*

35. 3. Hinc corrigendus videtur Laërtii error VIII. 9, qui ait Pythagoram interdixisse quominus pro se quisque oret, quia nesciunt homines quid sibi expediat. MAI.
35. 10. Vers. 1373—1384. MAI.
35. 19. Iamblich. VIII; Euseb. chron. procem. lib. II. ed. Mediol. p. 228. MAI.
35. 27. De his politicis pythagoriorum utilitatibus multus est Iamblichus op. cit. MAI.
35. 29. Legesis Iamblichum cap. XXXV; et Porphyrium cap. LIV; Laërtium VIII. 39. 40. MAI.

οὕτω συνέστηκεν ὥςτε μηδεμίαν αὐτῷ φθοράν τε καὶ διάλυσιν γεννῆσαι τὸν πολυετῆ χρόνον.

Ὅτι Κῦρος ὁ τῶν Περσῶν [βασιλεὺς] ἐπειδὴ τῶν Βαβυλωνίων καὶ τῶν Μήδων τὴν χώραν κατεπολέμησε, ὅταῖς ἐλπίσι πᾶσαν περιελάμβανε τὴν οἰκουμένην. τῶν γὰρ δυνατῶν καὶ μεγάλων ἐθνῶν καταπεπολεμημένων ἐνόμιζε μηδένα μήτε βασιλέα μήτε δῆμον ὑποστήσεσθαι τὴν ἰδίαν δύναμιν· τῶν γὰρ ἐν ἐξουσίαις ἀνυπευθύνων ὄντων εἰώθεισαν ἔνιοι τὴν εὐτυχίαν μὴ φέρειν κατ' ἄνθρωπον.

XLI. Ὅτι ὁ Πολυκράτης ὁ τῶν Σαμίων τύραννος εἰς τοὺς ἐπικαιροτάτους τόπους ἀποστέλλων τριήρεις ἐλῄστευσεν ἅπαντας τοὺς πλέοντας, ἀπεδίδου δὲ μόνοις τοῖς συμμάχοις τὰ ληφθέντα. πρὸς δὲ τοὺς μεμφομένους τῶν συνήθων ἔλεγεν ὡς πάντες οἱ φίλοι πλείονα χάριν ἕξουσιν ἀπολαβόντες ἅπερ ἀπέβαλον ἤπερ ἀρχὴν μηδὲν ἀποβαλόντες.

Ὅτι ταῖς ἀδίκοις πράξεσιν ὡς ἐπίπαν ἀκολουθεῖ τις νέμεσις οἰκείους τιμωρίας τοῖς ἁμαρτάνουσιν ἐπιφέρουσα.

Ὅτι πᾶσα χάρις ἀμεταμέλητος οὖσα καλὸν ἔχει καρπὸν τὸν παρὰ τῶν εὐεργετουμένων ἔπαινον· καὶ γὰρ ἂν μὴ πάντες, εἷς γε τῶν εὖ πεπονθότων ἐνίοτε τὴν ὑπὲρ ἁπάντων ἔδωκε χάριν.

Ὅτι Ἀριστογείτων πᾶσιν ἐποίησε φανερὸν ὡς ἡ τῆς 34
ψυχῆς εὐγένεια κατισχύει τὰς μεγίστας τοῦ σώματος ἀλγηδόνας.

XLII. Ὅτι Ζήνωνος τοῦ φιλοσόφου διὰ τὴν ἐπιβουλήν, ἣν κατὰ τοῦ Νεάρχου τοῦ τυράννου κατεστήσατο,

36. 2. γεννῆσαι] Ita cod. MAI.
36. 3. βασιλεὺς addidit editor Rom.
36. 4. κατεπολέμησε] κατεπολέμησεν ed. Rom.
36. 7. δῆμον] μῆδος ed. Rom. cum hac editoris annotatione: „Cod. μῆδον; quod mihi videbatur immutandum. Et minima id quidem varietate feci; quamquam maluissem scribere ἔθνος gentem."
36. 8. ἀνυπευθύνων] malim ἀνυπευθύνοις.
36. 9. εἰώθεισαν] fortasse εἰώθασιν.
36. 15. ὡς] incipit codicis p. 248.
36. 29. κατεστήσατο] addidi ex Valesii Excerptis.

36. 17. Conf. Herodot. III. 39. MAI.
36. 20. Sermo est de Polycratis supplicio. MAI. in Add.
36. 28. Locus extat, etsi non his ipsis plane verbis, in Diodori excerptis valesianis Wessel. T. II. p. 557. MAI.

κατὰ τὰς ἐν ταῖς βασάνοις ἀνάγκας ἐρωτωμένου ὑπὸ Νεάρχου τίνες ἦσαν οἱ συνειδότες "Ὤφελον γάρ, ἔφη, ὥςπερ τῆς γλώττης εἰμὶ κύριος οὕτω καὶ τοῦ σώματος.

Ὅτι τοῖς ἐπί τινων πραγμάτων διοριζομένοις ὡς οὐκ ἄν ποτε πραχθησομένοις ἔοικεν ἐπακολουθεῖν ὡςανεί τις νέμεσις ἐλέγχουσα τὴν ἀνθρωπίνην ἀσθένειαν.

Ὅτι Μεγαβύζου τοῦ καὶ Ζωπύρου φίλου ὄντος Δαρείου τοῦ βασιλέως, μαστιγώσαντος δ' ἑαυτὸν καὶ τὰ περὶ τὸ πρόσωπον ἀκρωτήρια ἀποκόψαντος διὰ τὸ σύντονον γενέσθαι καὶ Βαβυλῶνα προδοῦναι Πέρσαις, φασὶ βαρέως φέρειν τὸν Δαρεῖον καὶ εἰπεῖν βούλεσθαι τὸν Μεγάβυζον, εἰ δυνατὸν ἦν, ἄρτιον γενόμενον ἢ δέκα Βαβυλῶνας λαβεῖν ὑπὸ τὴν ἐξουσίαν, καίπερ ἀπράκτου τῆς ἐπιθυμίας οὔσης.

Ὅτι οἱ Βαβυλώνιοι στρατηγὸν εἵλαντο Μεγάβυζον ἀγνοοῦντες ὅτι τὴν εὐεργεσίαν τῆς μελλούσης ἀκολουθεῖν ἀπωλείας οἱονεὶ δέλεαρ αὐτοῖς προθήσειν.

XLIII. Ὅτι τὸ ἀποτέλεσμα τῶν ἐπιτευγμάτων ἱκανόν ἐστι μαρτύριον τῶν προῤῥηθέντων.

Ὅτι Δαρεῖος τῆς Ἀσίας σχεδὸν ὅλης κυριεύσας τῆς Εὐρώπης ἐπεθύμει καταστρέψασθαι. τὰς γὰρ τοῦ πλείονος ἐπιθυμίας ἀρίστους ἔχων καὶ τῷ μεγέθει τῆς Περσικῆς δυνάμεως πεποιθὼς περιελάμβανε τὴν οἰκουμέ-

37. 3. οὕτω] οὕτως ed. Rom., οὕτως ὑπῆρχον Exc. Valesii.

37. 5. πραχθησομένοις] immo πραχθησομένων.

37. 7. ὄντος] Cod. οὕτως. MAI.

37. 9. σύντονον] Ita cod.; quamquam magnopere suspicor mendum esse pro σύντομον, ideoque explicandum *ut brevi strategemate Babylonem Persis proderet.* Et quidem, quod valde interest, apud Diodorum nostrum I. 95. Wesselingius probabiliter iam demonstravit contrarium mendum irrepsisse συντόμως pro συντόνως; protulitque Kusteri auctoritatem, qui eandem horum vocabulorum confusionem saepe usuvenisse docuit ad Aristoph. Plut. 257. MAI. Wesselingii istam coniecturam vanam esse vel illa docent quae continuo consequuntur: οὐ γὰρ βούλεσθαι λυπηθῆναι συντόμως ἑαυτόν, ἀκριβῶς εἰδότα ὅτι πλησίον ἐστὶν αὐτῷ τὸ κακῶς παθεῖν. Hic pro σύντονον coniicio scribendum esse αὐτόμολον.

37. 15. εἵλαντο] Ita cod. MAI.

37. 17. προθήσειν] fortasse excidit μέλλουσιν.

37. 18. τὸ] δὲ ed. Rom.

37. 20. τῆς Εὐρώπης ἐπεθύμει καταστρέψασθαι] ita loquitur Eurip. Hippol. v. 1375. λόγχας ἔραμαι διαμοιρᾶσαι, et alii. Diodorus autem τὴν Εὐρώπην puto scripserat.

37. 22. ἀρίστους] scribendum ἀπλήστους aut eiusmodi quid.

37. 10. Herodot. III. 155. MAI.

νην, αἰσχρὸν εἶναι νομίζων τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας καταδεεστέρους ἀφορμὰς κτησαμένους τὰ μέ- 35 γιστα τῶν ἐθνῶν καταπεπολεμηκέναι, αὐτὸν δὲ τηλικαύτας ἔχοντα δυνάμεις ἡλίκας οὐδεὶς τῶν πρὸ αὐτοῦ ἔσχε μηδεμίαν ἀξιόλογον πρᾶξιν κατειργάσθαι.

Ὅτι οἱ Τυῤῥηνοὶ διὰ τὸν τῶν Περσῶν φόβον ἐκλιπόντες τὴν Λῆμνον ἔφασκον ὡς διά τινας χρησμοὺς τοῦτο ποιεῖν, καὶ ταύτην τῷ Μιλτιάδῃ παρέδωκαν. ταῦτα δὲ πράξαντος τοῦ προεστηκότος τῶν Τυῤῥηνῶν [Ἕρμωνος] συνέβη τὰς τοιαύτας χάριτας ἀπ' ἐκείνων τῶν χρόνων Ἑρμωνίους προσαγορευθῆναι.

XLIV. Ὅτι τῆς Λουκρητίας μοιχευθείσης παρὰ Σέξτου καὶ ἑαυτὴν ἀνελούσης διὰ τὸ ἁμάρτημα οὐκ ἄξιον ἡγούμεθα τὸ γενναῖον τῆς προαιρέσεως παραλιπεῖν ἀνεπισήμαντον. τὴν γὰρ ἐπιδοῦσαν ἑκουσίως τὸ ζῆν τοῖς μεταγενεστέροις εἰς καλὸν ζῆλον προσηκόντως ἂν εὐφημίας ἀξιοῖμεν ἀθανάτου, ὅπως αἱ τὴν τοῦ σώματος ἁγνείαν κατὰ πᾶν ἀνεπίληπτον παρέχεσθαι προαιρούμε-

38. 2. καταδεεστέρους] huic comparanda οὐδὲν ἀδοξότερον ποιήσει τὴν Σπάρτην ipsius Diodori XIII. 97. et quae aliorum pauca exstant huius usus exempla. Verius tamen existimo καταδεεστέρας.
38. 7. πόντες] incipit codicis p. 253.
38. 9. Ἕρμωνος] addidit editor Rom.
38. 17. αἱ τὴν] αὐτὴν ed. Rom. et mox ἀγνείαν.
38. 18. προαιρούμεναι] Ita cod. quamquam superius est masculinum genus. MAI.

38. 10 Proverb. Zenob. III. 85. Suid. VII. 10, quamquam hi duo dicunt Pelasgos pro Tyrrhenis, quos populos certe inter se finitimos fuisse ait Herodotus I. 57. (Noster vero eclogarius vel amanuensis incaute omisit nomen ducis Hermonis, sine quo proverbium caecum est.) Sed enim de Tyrrhenis, qui Lemnum, Imbrum, Scyron, aliasque insulas occupaverunt, legatur omnino Menagius ad Laërtium VIII. 1, cum auctoribus ab eo laudatis. Ex his Tyrrhenis oriundum Pythagoram tradunt Laërtius loc. cit. et Porphyrius vit. Pyth. cap. I. X. MAI. Immo Dionysius halic. I. 25. ait Tyrrhenos et Pelasgos eundem esse populum. IDEM in Add.

39. 12. Illatum Lucretiae stuprum et consecutam *αὐτοχειρίαν* **narrat Diodorus in valesianis excerptis p. 558. Ibi vero ubi locus ille editus desinit, subiungendus est vaticanus hic ineditus capto initio ab** *οὐκ ἄξιον δὲ ἡγούμεθα τὸ γενναῖον*. **Revera lib. XV. 88. morem suum profitetur Diodorus prosequendi laude debita praestantium virorum mortes, quod ibi mox facit, ubi narratae Epaminondae neci laudationem tanti viri subtexit:** *ἡμεῖς δ' εἰωθότες ταῖς τῶν ἀγαθῶν ἀνδρῶν τελευταῖς ἐπιλέγειν τὸν ἴδιον ἔπαινον, οὐδαμῶς ἁρμόττον ἡγούμεθα παραδραμεῖν ἀνδρὸς τηλικούτου τὴν τελευτὴν ἀνεπισήμαντον.* **Sic igitur hoc loco Diodorus Lucretiam extinctam insigni elogio prosequitur. MAI.**

ναι πρὸς ἐπιτετευγμένον ἀρχέτυπον παραβάλωνται. αἱ μὲν ουν ἄλλαι γυναῖκες κἂν φανερόν τι τῶν τοιούτων πράξωσι, κατακρύπτουσι τὸ συντελεσθὲν εὐλαβούμεναι τὴν ὑπὲρ τῶν ἁμαρτημάτων τιμωρίαν· ἡ δὲ τὸ λάθρα πραχθὲν ποιήσασα περιβόητον ἀπέσφαξεν ἑαυτήν, καὶ τὴν τοῦ βίου τελευτὴν καλλίστην ὑπὲρ αὑτῆς ἀπολογίαν ἀπέλιπε· καὶ τῶν ἄλλων ἐπὶ τῶν ἀκουσίων τὴν συγγνώμην προβαλλομένων αὕτη τὴν μετὰ βίας ὕβριν ἐτιμήσατο
86 θανάτου, ἵνα μηδ' εἴ τις ἐπιθυμῇ βλασφημεῖν τὴν ἐξουσίαν ἔχοι κατηγορεῖν τῆς προαιρέσεως ἑκουσίου γεγενημένης· τῶν γὰρ ἀνθρώπων φύσει τὰς λοιδορίας ἐπαίνων προτιμώντων τὴν τῶν φιλαιτίων ἀπέκοψε κατηγορίαν, αἰσχρὸν εἶναι νομίζουσα τῶν ἄλλων εἰπεῖν τινα διότι ζῶντος τοῦ κατὰ νόμους συμβιοῦντος ἀνδρὸς ἑτέρου παρανόμως ἐπειράθη, καὶ καθ' ὧν οἱ νόμοι τοῖς πράξασι θάνατον τιθέασι τὸ πρόςτιμον τοιοῦτο παθοῦσα τὸν πλείω χρόνον φιλοψυχεῖν, ἵνα τὸν πάντως ὀφειλόμενον παρὰ τῆς φύσεως θάνατον βραχὺ προλαβοῦσα τῆς αἰσχύνης ἀλλάξηται τοὺς μεγίστους ἐπαίνους. τοιγαροῦν οὐ μόνον θνητοῦ βίου δόξαν ἀθάνατον ἀντικατηλλάξατο διὰ τῆς ἰδίας ἀρετῆς, ἀλλὰ καὶ τοὺς συγγενεῖς καὶ πάντας τοὺς πολίτας προετρέψατο λαβεῖν ἀπαραίτητον τιμωρίαν παρὰ τῶν εἰς αὐτὴν παρανομησάντων.

XLV. Ὅτι Λεύκιος Ταρκύνιος ὁ βασιλεὺς τυραννικῶς καὶ βιαίως ἄρχων τῶν πολιτῶν τοὺς εὐπόρους τῶν Ῥωμαίων ἀνῄρει ψευδεῖς ἐπιφέρων αἰτίας ἕνεκεν τοῦ νοσφίσασθαι τὰς οὐσίας αὐτῶν. διόπερ Λεύκιος Ἰούνιος ὀρφανὸς ὢν καὶ πάντων Ῥωμαίων πλουσιώτατος δι' ἀμφότερα τὴν τοῦ Ταρκυνίου πλεονεξίαν ὑπώπτευεν, ἀδελφιδοῦς αὐτοῦ, καὶ παρ' ἕκαστα τῷ βασιλεῖ σύνθοινος προςεποιήθη μωρὸς εἶναι, ἅμα μὲν βουλόμενος τὸν ὑπὲρ τοῦ δύνασθαί τι φθόνον ἐκκλίνειν, ἅμα δ' ἀνυπονοήτως παρατηρεῖν τὸ πραττόμενον καὶ τοῖς τῆς βασιλείας ἐφεδρεύειν καιροῖς.

39. 2. φανερὸν] exspectaveram φανερῶς. Mox πράξωσιν ed. Rom.
39. 6. αὑτῆς] αὐτῆς ed. Rom.
39. 7. ἄλλων] ἄλλων τῶν ed. Rom.
39. 8. αὕτη] αὐτη ed. Rom. et *ipsa* in interpretatione.
39. 9. ἐπιθυμῇ] malim ἐπιθυμοίη.
39. 10. ἔχοι] ἔχει ed. Rom.
39. 15. ων] ὂν ed. Rom.
39. 17. τὸν πλείω χρόνον] τῶν πλείω χρόνων ed. Rom.
39. 28. πλουσιώτατος] incipit codicis p. 254.
39. 32. ἀνυπονοήτως] ἂν ὑπονοήτως ed. Rom.

Ὅτι οἱ Συβαρῖται μετὰ τριάκοντα μυριάδων ἐκστρατεύσαντες ἐπὶ τοὺς Κροτωνιάτας καὶ πόλεμον ἄδικον ἐπανελόμενοι τοῖς ὅλοις ἔπταισαν, καὶ τὴν εὐδαιμονίαν οὐκ ἐνεγκόντες ἐπιδεξίως ἱκανὸν παράδειγμα τὴν ἰδίαν ἀπώλειαν κατέλιπον τοῦ πολὺ μᾶλλον δεῖν προςέχειν ἐν ταῖς ἰδίαις εὐτυχίαις ἤπερ ἐν ταῖς ταλαιπωρίαις.

XLVI. Ὅτι περὶ Ἡροδότου φησὶν ὁ Διόδωρος Καὶ 37 ταῦτα παρεξέβημεν οὐχ οὕτως Ἡροδότου κατηγορῆσαι βουληθέντες ὡς ὑποδεῖξαι ὅτι τῶν λόγων οἱ θαυμάσιοι τοὺς ἀληθεῖς κατισχύειν εἰώθασιν.

Ὅτι προςῆκόν ἐστι τιμᾶσθαι τὴν ἀρετήν, κἂν ᾖ παρὰ γυναιξίν.

Ὅτι Ἀθηναῖοι δεξιῶς τῇ νίκῃ χρησάμενοι καὶ νικήσαντες Βοιωτούς τε καὶ Χαλκιδεῖς εὐθὺς ἀπὸ τῆς μάχης Χαλκίδος ἐκυρίευσαν. ἐκ τῆς δεκάτης τῆς τῶν Βοιωτῶν ὠφελείας ἅρμα χαλκοῦν εἰς τὴν ἀκρόπολιν ἀνέθεσαν τόδε τὸ ἐλεγεῖον γράψαντες,

ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλύεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
ὧν ἵππους δεκάτην Παλλάδι τάςδ' ἔθεσαν.

Ὅτι τὸ κατακαίειν τὰ ἱερὰ παρὰ Ἑλλήνων ἔμαθον Πέρσαι τὴν αὐτὴν τοῖς προαδικήσασιν ἀποδιδόντες ὕβριν.

XLVII. Ὅτι Κᾶρες ὑπὸ Περσῶν καταπονούμενοι ἐπηρώτησαν περὶ συμμαχίας εἰ προςλάβοιντο Μιλησίους συμμάχους. ὁ δὲ ἀνεῖλεν

πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

40. 11. ᾖ] Cod. εἰ. MAI. Quod defendi quodammodo potest.
40. 14. Χαλκιδεῖς] Ita cod. et mox Χαλκίδος. MAI.
40. 15. ἐκ] ad hoc fortasse deest copula. Mox ὠφελείας — δεκάτης ed. Rom.
40. 19. πολέμου] πολέμῳ ed. Rom.
40. 21. ὧν] Herodot. τῶν. MAI.

40. 3. Diodorus XII. 9. id bellum scribit. Sed noster eclogarius locum hunc ex alio aute undecimum libro sumpsit, aliis verbis sententiisque conformatum. Neque nescimus res aliquot a Diodoro aliisque historicis bis fuisse narratas, semel brevius et obiter, iterum suo loco et copiosius ac non sine varietate. MAI.

40. 12. Consentanea his dicit graecus auctor prologi commentariorum ad Susannam a me in vaticanae collectionis volumine primo editorum. MAI.

40. 17. Rem narrat aliis verbis Herodotus V. 77, qui etiam epigramma recitat. Et quidem is compedes, qui captivis iniecti fuerant, ad suam usque aetatem ait pependisse Athenis ex acropoleos muro. MAI.

40. 27. Reapse Cares cum Milesiis sociis insignem cladem a Persis retulerunt, ut ait Herodotus V. 120. MAI.

οὐ μὴν ἀλλ' ὁ φόβος ἐγγὺς κείμενος ἐποίησεν αὐτοὺς ἐπιλαθέσθαι τῆς πρὸς ἀλλήλους φιλοτιμίας, πρὸς δὲ τὸ πληροῦν τὰς τριήρεις κατὰ τάχος συνηνάγκαζεν.

38 Ὅτι Ἑκαταῖος ὁ Μιλήσιος πρεσβευτὴς ἀπεσταλμένος ὑπὸ τῶν Ἰώνων ἠρώτησε δι' ἣν αἰτίαν ἀπιστεῖ αὐτοῖς ὁ Ἀρταφέρνης. τοῦ δὲ εἰπόντος, μήποτε ὑπὲρ ὧν καταπολεμηθέντες κακῶς ἔπαθον μνησικακήσωσιν, Οὐκοῦν, ἔφησεν, εἰ τὸ πεπονθέναι κακῶς τὴν ἀπιστίαν περιποιεῖ, τὸ παθεῖν ἄρα εὖ ποιήσει τὰς πόλεις Πέρσαις εὐνοούσας. ἀποδεξάμενος δὲ τὸ ῥηθὲν ὁ Ἀρταφέρνης ἀπέδωκε τοὺς νόμους ταῖς πόλεσι καὶ τακτοὺς φόρους κατὰ δύναμιν ἐξέταξεν.

ὁ γὰρ παρὰ τοῖς πολλοῖς τῶν πολιτῶν φθόνος τὸν ἔμπροσθεν χρόνον ἐγκρυπτόμενος ἐπειδὴ καιρὸν ἔλαβεν, ἄθρους ἐξεῤῥάγη. διὰ δὲ τὴν φιλοτιμίαν τοὺς δούλους ἠλευθέρωσαν, μᾶλλον βουλόμενοι τοῖς οἰκέταις μεταδοῦναι τῆς ἐλευθερίας ἢ τοῖς ἐλευθέροις τῆς πολιτείας.

XLVIII. Ὅτι Δᾶτις ὁ τῶν Περσῶν στρατηγός, Μῆδος ὢν τὸ γένος καὶ παρὰ τῶν προγόνων παρειληφὼς ὅτι Μήδου τοῦ συστησαμένου τὴν Μηδίαν Ἀθηναῖοι κατέστησαν ἀπόγονοι, ἀπέστειλε πρὸς τοὺς Ἀθηναίους

41. 10. τὸ] incipit codicis p. 279.
41. 11. πόλεσι] πόλεσιν ed. Rom.
41. 12. ἐξέταξεν] immo ἐπέταξεν.
41. 13. παρὰ τοῖς πολλοῖς] τοῖς πολλοῖς παρὰ ed. Rom., sed interpretatio *invidia quae in multis civibus antea celabatur*.
41. 16. ἠλευθέρωσαν] ἐλευθέρωσαν ed. Rom.
41. 18. Δᾶτις] Δάτης ed. Rom., et Δάτην 42. 2. et 11.
41. 20. συστησαμένου] στησαμένου ed. Rom.
41. 21. κατέστησαν] καθέστησαν ed. Rom.

41. 3. More suo eclogarius sententiam hanc a narrationis corpore avulsit, nempe ab historia belli Ionum foederatorum contra Persas. MAI.

41. 5. Revera Hecataeus milesius nobilis historiographus bellum adversus Persas Ionibus, frustra licet, dissuaserat; uti narrat Herodotus V. 36. MAI.

41. 6. Artaphernes persa Sardibus praefectus, dux belli contra Ionas. Herod. V. 123. MAI.

41. 17. Fragmentum mutilum sententiae causa ab eclogario delectum. MAI.

41. 18. Datis et Artaphernes summi imperatores Persarum in proelio ad Marathona contra Miltiadem. Herod. VI. 94, Nepos Milt. IV. MAI.

41. 20. Medus scilicet Medea et Aegeo Athenarum rege genitus, qui cum matre Athenis pulsus, barbaris deinde populis debellatis, ditionem sibi subditam Mediam appellavit. Apollodorus biblioth. I. 9, et Cephalio apud Euseb. chron. I. 15. MAI.

εἰπεῖν ὡς πάρεστι μετὰ δυνάμεως απαιτήσων τὴν ἀρχὴν τὴν προγονικήν· Μήδων γὰρ τῶν ἑαυτοῦ προγόνων πρεσβύτερον Δᾶτιν γενόμενον ἀφαιρεθῆναι τὴν βασιλείαν ὑπὸ τῶν Ἀθηναίων καὶ παραγενόμενον εἰς τὴν Ἀσίαν κτίσαι τὴν Μηδίαν. ἂν μὲν οὖν αὐτῷ τὴν ἀρχὴν ἀποδῶσιν, ἀφεθήσεσθαι τῆς πρώτης αἰτίας καὶ τῆς ἐπὶ Σάρδεις στρατείας· ἂν δὲ ἐναντιωθῶσι, πολὺ δεινότερα πείσεσθαι τῶν Ἐρετριέων. ὁ δὲ Μιλτιάδης ἀπεκρίθη ἀπὸ τῆς τῶν δέκα στρατηγῶν γνώμης διότι κατὰ τὸν τῶν πρεσβευτῶν λόγον μᾶλλον προσήκει τῆς Μήδων ἀρχῆς κυριεύειν Ἀθηναίους ἢ Δᾶτιν [διὰ] τῆς Ἀθηναίων πόλεως· 89
τὴν μὲν γὰρ τῶν Μήδων βασιλείαν Ἀθηναῖον ἄνδρα συστήσασθαι, τὰς δὲ Ἀθήνας μηδέποτε Μῆδον τὸ γένος ἄνδρα κατεσχηκέναι. ὁ δὲ πρὸς μάχην ἀκούσας ταῦτα παρεσκευάζετο.

Ὅτι Θεμιστοκλῆς ὁ τοῦ Νεοκλέους, προσελθόντος τινὸς αὐτῷ πλουσίου καὶ ζητοῦντος κηδεστὴν εὑρεῖν πλούσιον, παρεκελεύσατο αὐτῷ ζητεῖν μὴ χρήματα ἀνδρὸς δεόμενα, πολὺ δὲ μᾶλλον ἄνδρα χρημάτων ἐνδεᾶ. ἀποδεξαμένου δὲ τἀνθρώπου τὸ ῥηθὲν συνεβούλευσεν αὐτῷ συνοικίσαι τὴν θυγατέρα τῷ Κίμωνι. διόπερ ἐκ ταύτης τῆς αἰτίας ὁ Κίμων εὐπορήσας χρημάτων ἀπελύθη τῆς φυλακῆς, καὶ τοὺς κατακλείσαντας ἄρχοντας εὐθύνας καταδίκους ἔλαβεν.

XLIX. Ὅτι τῶν Ἑλλήνων πάντων διαπρεσβευσαμένων πρὸς Γέλωνα περὶ συμμαχίας, ὅτε Ξέρξης διέβαινε

42. 6. *ἀφεθήσεσθαι*] *ἀφηθήσεσθαι* ed. Rom.
42. 6. *πρώτης αἰτίας*] *αἰτίας πρώτης* ed. Rom.
42. 7. *ἐναντιωθῶσι*] *ἐναντιωθῶσιν* ed. Rom.
42. 8. *Μιλτιάδης*] *Μιλθιάδης* ed. Rom.
42. 9. *στρατιωτῶν*] Ita cod. MAI., cuius interpretatio recte *ducum*: quod restitui.
42. 9. *πρεσβευτῶν*] *πρεσβυτῶν* ed. Rom.
42. 11. *διὰ*] dele.
42. 21. *συνοικίσαι*] *συνοικῆσαι* ed. Rom.
42. 24. *καταδίκους*] *καταδίκως* ed. Rom.

42. 6. Athenienses Ionum auxiliares Sardes captas inflammaverunt, quam rem Darius rex molestissime tulit. Herod. V. 101. 105. MAI.

42. 8. Eretriam Euboicam a Persis igne ac direptione vastatam, civesque hastae subiectos, ait Herodotus VI. 101. MAI.

42. 21. *Κίμωνι*] Cicero de off. II. 20, Valer. Max. VII. 2. ext. 8. MAI.

42. 24. Aes alienum dissolutum ob Elpinicem sororem et coniugem, quam Cimon Calliae cessit, tradunt in Cimone Nepos et Plutarchus. Multo ergo Cimoni honorificentior Diodori narratio. MAI.

πρὸς τὴν Εὐρώπην, τοῦ δὲ ἐπαγγειλαμένου συμμαχῆσαι καὶ σιταρχῆσαι, εἴ γε τὴν ἡγεμονίαν εἴτε τὴν κατὰ γῆν εἴτε τὴν κατὰ θάλατταν παρέξουσιν, ἡ μὲν ὑπὲρ τῆς ἡγεμονίας φιλοδοξία τὴν συμμαχίαν παρεκρούετο, τὸ δὲ μέγεθος τῆς βοηθείας καὶ ὁ τῶν πολεμίων φόβος προέτρεπε μεταδοῦναι τῆς δόξης τῷ Γέλωνι.

ἡ μὲν γὰρ τῶν Περσῶν ὑπεροχὴ πρὸς τὸ κρατῆσαι τῆς ἐπιθυμίας ἔχει τὰς δωρεάς, ἡ δὲ τυραννικὴ πλεονεξία καὶ τὰ μικρὰ τῶν λημμάτων οὐ παρίησιν.

βεβαιοτάτη γὰρ τῆς σωτηρίας φύλαξ ἡ ἀπιστία.

παῖδες μὲν οὖν ἀδικούμενοι πρὸς πατέρας καταφεύγουσι, πόλεις δὲ πρὸς τοὺς ἀποικίσαντας δήμους.

40 Ὅτι τυράννου πλεονεξία τοῖς μὲν ὑπάρχουσιν οὐκ ἀρκεῖται, τῶν δὲ ἀλλοτρίων ἐπιθυμεῖ, πληροῦται δὲ οὐδέποτε.

Τοὺς δὲ κατὰ τῆς δυναστείας αὐτοῦ πεφυκότας ἔχων καιρὸν οὐκ ἐάσει δύναμιν λαβεῖν.

L. ἐκείνων γὰρ τῶν ἀνδρῶν ἐστε ἀπόγονοι οἳ τὰς αὑτῶν ἀρετὰς μετὰ τὸν θάνατον ἀθανάτους τῇ δόξῃ καταλελοίπασι. τὸ γὰρ ἔπαθλον τῆς συμμαχίας οὐκ ἀργύριον αἰτεῖ, οὗ πολλάκις ἰδεῖν ἔστι καταφρονοῦντα καὶ τὸν φαυλότατον ἰδιώτην πεπλουτηκότα, ἀλλ' ἔπαινον καὶ δόξαν, περὶ ἧς οἱ ἀγαθοὶ τῶν ἀνθρώπων οὐκ ὀκνοῦσιν ἀποθνήσκειν· μισθὸς γάρ ἐστιν ἡ δόξα μείζων ἀργυρίου. παραλαμβάνουσι γὰρ οἱ Σπαρτιᾶται παρὰ τῶν πατέρων οὐχ ὥςπερ οἱ λοιποὶ πλοῦτον, ἀλλὰ προθύμως

43. 2. σιταρχῆσαι] aptius σιταρκῆσαι.
43. 3. παρέξουσιν] παρέξωσιν ed. Rom.
43. 5. καὶ] incipit codicis p. 280.
43. 5. προέτρεπε] προέτρεπεν ed. Rom.
43. 10. βεβαιοτάτη] βεβαιωτάτη ed. Rom.
43. 19. αὑτῶν] αὐτῶν ed. Rom.
43. 21. ἔστι] ἐστιν ed. Rom.

43. 6. Imperium tamen ambitioso Geloni a Graecis non est traditum, teste Herodoto VII. 159. Et sane constat Gelonem non pugnavisse contra Persas; idque ait etiam Diodorus noster XI. 26. MAI.

43. 9. Denuo solitariae sententiae heic et postea. MAI.

43. 18. Hae, quae sequuntur, particulae abruptae sine dubio pertinent ad concionem, quam a Diodoro scriptam censeo, et cuius certum indicium dat Herodotus VII. 134. Scilicet quum in urbe Sparta placandus esset Talthybius deus, sive heros, qui ob violatos Persarum praecones irascebatur, conciones populares habitae in urbe sunt, *numquis lacedaemonius*, (ut diserte ait Herodotus) *vellet pro Sparta mortem obire*, id est se ultro devovere, Persisque ad piaculum auferendum semet tradere; id quod reapse lacedaemonii duo praestiterunt. MAI. De Gelone haec dici videntur.

τελευτᾶν περὶ τῆς ἐλευθερίας, ὥςτε πάντα τὰ κατὰ τὸν βίον ἀγαθὰ δεύτερα τίθεσθαι τῆς δόξης.

μὴ τῶν ξενικῶν δυνάμεων ἐπιθυμοῦντες τὰς πολιτικὰς ἀποβάλλωμεν καὶ τῶν ἀδήλων ὀρεγόμενοι τῶν φανερῶν μὴ κυριεύωμεν. — Οὔ φημι καταπεπλῆχθαι τὸ μέγεθος τῆς τῶν Περσῶν στρατιᾶς· ἀρετῇ γὰρ ὁ πόλεμος οὐ πλήθει βραβεύεται. — Παρειλήφασι γὰρ ὑπὸ τῶν πατέρων ζῆν μὲν ἑαυτοῖς, τελευτᾶν δ' ὅταν χρεία ταῖς πατρίσιν ἐπῇ. — Τί φοβηθῶμεν τὸν χρυσὸν ᾧ κεκοσμημένοι βαδίζουσιν εἰς τὰς μάχας ὡς γυναῖκες εἰς τοὺς γάμους, ὥςτε τὴν νίκην μὴ μόνον ἔπαθλον ἔχειν δόξαν ἀλλὰ καὶ πλοῦτον; οὐ φοβεῖται γὰρ ἡ ἀρετὴ χρυσόν, ὃν ὁ σίδηρος εἴωθεν ἄγειν αἰχμάλωτον, ἀλλὰ τὴν στρατηγίαν τῶν ἡγουμένων. — Πᾶσα γὰρ δύναμις ὑπεραίρουσα τὴν συμμετρίαν ὑφ' ἑαυτῆς βλάπτεται τὰ πλεῖ- 41
στα. πρὶν ἢ γὰρ ἀκοῦσαι τὴν φάλαγγα φθάσομεν ἡμεῖς πράξαντες ἃ βουλόμεθα.

44. 6. στρατιᾶς] στρατείας ed. Rom.

44. 14. Intervallum ante πᾶσα nullum notat ed. Rom., sed ubi non est 16. ante πρίν.

44. 3. Particula pertinens ad consultationem de implorandis contra Persas exteris auxiliis. MAI.

44. 6. Pars orationis exhortatoriae contra Persas. MAI.

44. 17. Huc usque pertingunt excerpta inedita a libro septimo usque ad decimi finem. (Nam sexti libri, in quo res adhuc ante troica tempora scribebantur, nullae erant reliquiae in codice vaticano.) Statim vero in nostri codicis eadem pagina 280 eodemque versu sequitur particula edita pertinens ad librum XI. 3. *Διελέσθαι δὲ δεῖ τοὺς τὰ τῶν βαρβάρων ἑλομένους, ἵνα τυγχάνοντες ὀνείδους* **etc. Tum pars reliqua dimidia quaternionis, nempe paginae 289. 290. 251. 252. 257. 258. 267. 268. habent excerpta a libro XI. 3. usque ad librum XII. 18. Cessant igitur excerpta vaticana inedita, ubi edita diversa ab his valesiana desinunt Wessel. T. II. p. 559; incipiunt vaticana edita ubi valesiana item edita nempe in rebus gestis Leonidae ad Thermopylas (Wessel. XI. 3) Praeterea extat in codice integer alius quaternio habens librorum Diodori editorum excerpta a libro XV. 1. usque XIX. 2. Eae vero sunt paginae codicis 307. 308. 183. 184. 235. 236. 236. 229. 230. 243. 244. 237. 238. 193. 194. 293. 294. Denique in paginis 221. 222. 119. 120. 177. 178. occurrunt Diodori excerpta librorum editorum XIX. et XX. Atque haec ego omnia materiae cognitae excerpta ab hoc meo volumine exclusi; quamquam ea neque aliqua, ut fit, lectionum varietate carebant, et certe firmissimum parti ineditae testimonium dabant. Quippe quum vaticana excerpta edita cum Diodori publicis libris ad verbum congruant, sequitur ut illa etiam quae sunt inedita, atque cum editis coniunguntur, ad Diodorum aeque auctorem referenda sint. Rursus excerpta illa quae ad libros Diodori editos pertinebant, percommode me docuerunt, quanam ratione atque instituto, quantisque fere intervallis interpositis, quonam denique delectus genere haec excerpta**

constantiniana curata fuerint: quam rem in ambrosianis quoque Dionysii halicarnassei codicibus olim observavi, quorum item excerpta partim in editos partim in deperditos eius historici libros incidebant.

Denique lectores moneo me excerpta librorum a VII. ad X. idcirco conglobata posuisse, quia neque in codice vaticano, neque in aliis ab Ursino, Hoeschelio Valesioque tractatis codicibus satis certa indicia supererant, quamobrem hae partes in suos quaeque libros pro suo iure distribuerentur: quo tamen incommodo in sequentibus plerisque post XX. librum excerptis non laborabimus. Item nemo miretur, cur quum librorum a VII. ad X. iamdiu extent ursiniana, hoeschellana, valesianaque excerpta, vaticana tamen ex his ipsis libris manantia, diversa sint et inedita. Causa eius rei est, quod prisci illi eclogarii pro suo quisque operis titulo Diodorum defloraverunt: itaque in codicibus ante me cognitis nonnisi excerpta accommodata ad titulos *de legationibus*, et *de virtutibus ac vitiis*, vel ad quosdam alios, occurrerunt. In vaticano pariter codice partes illae Diodori tantum ponuntur, quae ad titulum *de sententiis* referri poterant, ceteris fere praetermissis. Atque ita vaticana, quamquam ex iisdem libris educta, a praedictis et iamdiu cognitis excerptis differunt. Aliquando tamen contigit, quod prope necessarium erat, ut excerptum idem non uni titulo commodum visum sit; ideoque non uni eclogario praedae fuerit; id quod in adnotationibus meis suo loco non reticui. Et quidem partes editas, quod iam monui, consulto praetermisi.

Transeo iam ad Diodori excerpta inedita librorum post vigesimum: quandoquidem libros eius ab undecimo usque ad vigesimum superesse integros, ideoque constantinianis excerptis haud indigere, nemo ignorat. MAI.

L. XXI.

I. Ὅτι Πτολεμαῖος [ὁ] καὶ Σέλευκος καὶ Λυσίμαχος 42
συνέδραμον ἐπ' Ἀντίγονον τὸν βασιλέα οὐχ οὕτως ὑπὸ τῆς πρὸς ἀλλήλους εὐνοίας προκληθέντες ὡς ὑπὸ τοῦ καθ' ἑαυτοὺς φόβου συναναγκασθέντες ὥρμησαν ἑτοίμως πρὸς τῶν ὅλων κοινοπραγίαν.

Ὅτι οἱ ἐλέφαντες οἱ Ἀντιγόνου καὶ Λυσιμάχου κατὰ τὴν μάχην ἠγωνίζοντο ὡς ἂν τῆς φύσεως ἐφάμιλλον δεδωκυίας αὐτοῖς τὴν ἀλκὴν καὶ βίαν.

Ὅτι Σέλευκος μετὰ τὴν διαίρεσιν τῆς Ἀντιγόνου βασιλείας ἀναλαβὼν τὴν δύναμιν παρεγένετο εἰς Φοινίκην καὶ ἐπεχείρησε κατὰ τὰς γενομένας συνθήκας τὴν κοίλην Συρίαν ἰδιοποιεῖσθαι. προκατειληφότος δὲ τὰς ἐν αὐτῇ πόλεις Πτολεμαίου καὶ κατηγοροῦντος ὅτι φίλος ὢν Σέλευκος προσεδέξατο τὴν ὑπὸ Πτολεμαῖον οὖσαν

46. 1. ὅτι] incipit codicis p. 265.

46. 1. καὶ ὁ] Male in cod. ὁ καί. Immo omittere praestat etiam ὁ. MAI.

46. 4. συναναγκασθέντες] συναγκασθέντες ed. Rom.

46. 6. 7. Ἀντιγόνου καὶ Λυσιμάχου κατὰ τὴν μάχην] κατὰ τὴν μάχην Ἀντιγόνου καὶ Λυσιμάχου ed. Rom.

46. 1. Quae sequuntur fragmenta recte a me collocari in libro XXI, etsi nulla rei mentio fit in vaticano palimpsesto, statim cognoscet, qui hoescheliana nec non valesiana huius libri fragmenta cum his ineditis vaticanis conferet. (Eadem ego regula in sequentibus quoque libris disponendis utar.) Et quidem Diodorus vigesimi libri extremis verbis ait, se regum de summa re adversus Antigonum certamen initio sequentis libri scripturum; quae reapse narratio in his vaticanis reliquiis, quatenus eam eclogario servare placuit, occurrit. MAI.

46. 4. Sic loquitur etiam Porphyrius in suis deperditis nunc historiis apud Euseb. chron. I. 40. Lege etiam Diodorum nostrum XX. 106, et Pausaniam I. 6. MAI.

46. 8. De elephantorum peculiari sollertia lege, si vacat, Ciceronem epist. fam. VII. 1; tum quae fusius dicuntur a Dione Cassio XXXIX. 38, et ab eruditis ibidem interpretibus. MAI.

46. 13. Scilicet ipse Diodorus sub vigesimi libri finem occupatas a Ptolemaeo Coelesyriae urbes iam narraverat. MAI.

χωραν εἰς τὴν ἰδίαν καταχθῆναι μερίδα, πρὸς δὲ τού-
τοις ὅτι τοῦ πολέμου τοῦ πρὸς Ἀντίγονον κεκοινωνηκό-
τος οὐδὲν αὐτῷ μετέδωκαν οἱ βασιλεῖς τῆς δορικτήτου
48 χώρας, πρὸς ταύτας τὰς διαβολὰς ἀντεῖπε Σέλευκος φά-
μενος δίκαιον εἶναι τοὺς τῇ παρατάξει κρατήσαντας κυ-
ρίους ὑπάρχειν τῶν δορικτήτων· περὶ δὲ τῆς κοίλης Συ-
ρίας διὰ τὴν φιλίαν ἐπὶ τοῦ παρόντος μηδὲν πολυπρα-
γμονήσειν, ὕστερον δὲ βουλεύσεσθαι πῶς χρηστέον ἐστὶ
τῶν φίλων τοῖς βουλομένοις πλεονεκτεῖν.

II. ὑπερβολὴν γὰρ ἑκάτεροι φιλοτιμίας οὐ κατέλιπον, οἱ μὲν Μακεδόνες σπεύδοντες σῶσαι τὰς ναῦς, οἱ δὲ Σικελιῶται βουλόμενοι μὴ μόνον Καρχηδονίων καὶ τῶν κατὰ τὴν Ἰταλίαν βαρβάρων περιγενέσθαι δοκεῖν, ἀλλὰ καὶ περὶ τὴν Ἑλλάδα θεωρηθῆναι κρείττους ὄντας Μακεδόνων τῶν τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην πεποιημένων δορίκτητον.

Ὅτι Ἀγαθοκλῆς εἰ μὲν ἀποβιβάσας τὴν δύναμιν ἐπικειμένοις τοῖς πολεμίοις ἐπέθετο, κατέκοψεν ἂν ῥᾳδίως τοὺς Μακεδόνας· ἀγνοήσας δὲ τὴν γεγενημένην προσαγγελίαν καὶ τὴν ἔκπληξιν τῶν ἀνθρώπων ἠρκέσθη τὴν δύναμιν ἀποβιβάσας καὶ τρόπαιον στήσας διαλαβεῖν ἀλη-

47. 3. δορικτήτου] δωρυκτήτου ed. Rom.
47. 6. δορικτήτων] δορυκτήτων ed. Rom.
47. 6. πολυπραγμονήσειν] πολυπραγμονῇς ed. Rom.
47. 8. βουλεύσεσθαι] βουλεύσασθαι ed. Rom. et mox ἐστίν.
47. 10. ὑπερβολὴν] ὑπὲρ ἀρχὴν ed. Rom., quod malui scribere ut scripsi quam ὑπεροχὴν.
47. 16. δορίκτητον] δορύκτητον ed. Rom.

47. 9. Regum hanc discordiam post debellatum Antigonum innuit Iustinus XV. 4. MAI.

47. 16. Agitur in mutilo hoc fragmento de pugna Agathoclis siculi cum Casandri macedonis copiis ad Corcyram, cuius brevis mentio est in fragmentis Diodori nostri editis XXI. 2. p. 489, unde cognoscimus crematam fuisse ab Agathocle Macedonum classem. MAI.

47. 19. προσαγγελίαν] Quinam erat hic nuncius? Nam ille certe de regum victoria ad Ipsum Casandro potius favebat. Equidem belli huius ab Agathocle in Corcyra gesti perexigua memoria superest: quamquam insulam reapse Agathocles in potestate habuit, eamque dotis nomine Lanassae filiae dedit, quam Pyrrho magno epirensi in matrimonium collocavit. Plut. de ser. num. vind. tom. VIII. p. 205, et tom. II. in Pyrrho cap. IX. X. MAI. Est fortasse nuncius classis Macedonum combustae ad Cassandri copias terrestres perlatus. Oppugnabat enim Corcyram Cassander πλοῖ καὶ πεζῇ, ut recte apud Diodorum loco citato scribit Reiskius ad Constantini Caerimon. aulae Byz. p. 66.

θῆ τὸν λόγον εἶναι ὅτι πολλὰ κενὰ τοῦ πολέμου. ἄγνοια γὰρ καὶ ἀπάτη πολλάκις οὐκ ἐλάττω κατεργάζεται τῆς ἐν τοῖς ὅπλοις ἐνεργείας.

Ὅτι Δημήτριος ὁ βασιλεὺς λαβὼν ὑποχειρίους ἅπαντας τοὺς κατ' αὐτοῦ βλασφημεῖν εἰωθότας ἐν ταῖς ἐκκλησίαις καὶ πάντα κατ' αὐτοῦ στρατηγεῖν φιλαπεχθη- 44
μόνως ἀφῆκεν ἀθῴους, ἐπιφθεγξάμενος ὅτι συγγνώμη τιμωρίας αἱρετωτέρα.

III. *Ὅτι ὑπὸ σιτοδείας πιεζομένης τῆς τοῦ Λυσιμάχου στρατιᾶς, καὶ τῶν φίλων αὐτῷ συμβουλευόντων σώζειν ὅπως ποτὲ δύναται καὶ μηδεμίαν ἔχειν ἐλπίδα σωτηρίας ἐν τῷ στρατοπέδῳ, τούτοις ἀπεκρίθη μὴ δίκαιον εἶναι καταλιπόντα τὴν δύναμιν καὶ τοὺς φίλους ἰδίαν σωτηρίαν αἰσχρὰν πορίζεσθαι.*

Ὅτι τοῦ Δρομιχαίτου τὸν Λυσίμαχον ἐπὶ δεῖπνον κεκληκότος καὶ προβαίνοντος τοῦ πότου πληρώσας τὸ μέγιστον τῶν κεράτων καὶ προσαγορεύσας πατέρα τὸν Λυσίμαχον ἠρώτησε πότερον αὐτῷ δοκεῖ δεῖπνον εἶναι βασιλικώτερον, τὸ Μακεδονικὸν ἢ τὸ Θρᾴκιον. τοῦ δὲ

48. 1. *καινὰ*] Ita cod. *καινά*. Verumtamen heic apud Diodor. in fragm. Wessel. *κενά*. Valde tamen suspicor lectionem a librariis fuisse variatam; sicuti revera accidit huic ipsi proverbio apud eundem Diodorum XVII. 86, ubi in textu est *κενοῖς*, at in variis lectionibus *καινοῖς*. Eadem lectio similiter sollicitata fuit apud Polybium XXIX. 6. vel potius apud Suidam in *πολλὰ κενὰ*, observante in scholiis Kustero; itemque apud Schotti proverbia, cuius postremum certe exemplum metricum non sinit nos ambigere de lectione *κενά*. MAI.

48. 1. *ἄγνοια*] *ἀγνοία* ed. Rom.

48. 2. *οὐκ*] incipit codicis p. 266.

48. 2. 3. *τὴν — ἐνέργειαν*] Ita cod. in quarto casu; et sic fuit etiam in fragmentis editis; sed Rhodomanus substituit secundum casum. MAI.

48. 8, *αἱρετωτέρα*] *αἱρετοτέρα* ed. Rom.

48. 10. *στρατιᾶς*] *στρατείας* ed. Rom.

48. 10. *σώζειν*] immo *σώζεσθαι*, nisi excidit *ἑαυτόν*.

48. 15. *δεῖπνον*] *δείπνου* ed. Rom.

48. 8. Sermo est de Antigoni filio Demetrio, cuius humanitas a Plutarcho in eius vita memoratur, nec non ab huius libri diodoriani fragmentis editis p. 491. 560. Porro extrema trium verborum sententia supererat unica in fragmentis editis p. 491. Iamvero id Pittaci effatum fuit, ut in nostris excerptis legitur p. 19. Atque hinc cognoscimus, quam utile sit philosophorum sententias a regibus resciri. Ecce enim breve id dictum multorum hominum vitam conservavisse videtur. Post hanc sententiam sequebatur in codice vaticano particula illa trium ferme versiculorum a 5. ad 8. *ὅτι οἱ πλεῖστοι τῶν ἀγόντων στρατόπεδα* **etc. usque ad** *τὰς ἐναντιώσεις αὐτῶν*: **quam idcirco omisi quia extat in editis p. 491. MAI.**

Λυσιμάχου τὸ Μακεδονικὸν εἰπόντος Τί οὖν, ἔφη, νό-
μιμα τοιαῦτα καὶ βίον λαμπρὸν ἀπολιπὼν ἔτι δὲ ἐπι-
φανεστέραν βασιλείαν ἐπεθύμεις εἰς ἀνθρώπους παραγε-
νέσθαι βαρβάρους καὶ ζῶντας θηριώδη βίον καὶ χώραν
δυσχείμερον καὶ σπανίζουσαν ἡμέρων καρπῶν, ἐβιάσω δὲ
παρὰ φύσιν ἀγαγεῖν δύναμιν εἰς τόπους τοιούτους ἐν
οἷς ξενικὴ δύναμις ὑπαίθριος οὐ δύναται διασώζεσθαι;
εἰπόντος δὲ πάλιν πρὸς ταῦτα τοῦ Λυσιμάχου διότι τὸ
μὲν περὶ ταύτην τὴν στρατείαν ἠγνόηκεν, εἰς δὲ τὸ λοι-
πὸν πειράσεται φίλος ὢν συμμαχεῖν καὶ χάριτος ἀποδώ-
45 *σει μὴ λειφθῆναι τῶν εὖ πεποιηκότων, ἀποδεξάμενος*
αὐτὸν φιλοφρόνως ὁ Δρομιχαίτης παρέλαβε τῶν χωρίων
τὰ παραιρεθέντα ὑπὸ τῶν περὶ Λυσίμαχον καὶ περιθεὶς
αὐτῷ διάδημα ἐξαπέστειλεν.

Ὅτι ἐπὶ πολλῶν τὸ θυμομαχεῖν εἰς τέλος χαριζομένους τῷ θυμῷ παραιτητέον· συμφέρει γὰρ ἐνίοτε διαλύεσθαι καὶ χρημάτων ὠνεῖσθαι τὴν ἀσφάλειαν καὶ καθόλου προκρίνειν τῆς τιμωρίας τὴν συγγνώμην.

Ὅτι ὅταν εἰς ἀπορίαν ἔλθῃ στρατιώτης ἀλλόφυλος, ἐπὶ πρώτην τὴν τῶν φίλων ἁρπαγὴν ὁρμᾶν εἴωθεν.

49. 2. *τοιαῦτα*] *τοσαῦτα* ed. Rom.
49. 20. *ἁρπαγὴν*] incipit codicis p. 271.

49. 1. *εἰπόντος*] **Praeter illum quem p. 1. posui locum, hic quoque perutilis atque praeclarus mihi fuit locus ad dignoscenda in vaticano palimpsesto Diodori excerpta. Quippe verba de Dromichaetae convivio huc usque extant in valesianis excerptis editis p. 560; tum ibi abrupta narratione dicitur** *ΖΗΤΕΙ ΕΙΣ ΤΟ ΠΕΡΙ ΓΝΩΜΩΝ*, **RELIQUA DISCE E SENTENTIARUM TITULO. Iamvero in his vaticanis membranis narratio reliqua scribitur, et quidem in margine adnotatur** *ΓΝΩΜΗ*; **ergo locum Diodori in valesianis excerptis suppressum, nunc vaticanus codex restituit. MAI.**

49. 9. *ἠγνόηκεν*] **Atqui Darii persae aeque infelix in Scythiam expeditio, quam narrat Herodotus lib. IV, Lysimachum erudire potuerat. Sed enim haud mirari Lysimachum nobis licet, qui Gallorum nuperam et omnium luctuosissimam, invita caeli temperie, expeditionem in Moscoviam vidimus. MAI. Qui** *ἀγνοεῖν* **de inscitia accepit: sed est potius** *peccare*.

49. 13. Memorantur haec castella in fragmentis editis p. 560. MAI.

49. 14. Haec est communior historicorum sententia: quamquam non desunt qui occisum potius a Thracibus Lysimachum aiunt, ut Polyaenus VII. 25, et Arrianus apud Photium cod. XCII p. 218: sed falso ut arbitror; nam Lysimachus in pugna adversus Seleucum desideratus est. MAI.

49. 16. Confer fragm. ed. p. 494. MAI.

49. 20. Extat hic locus in excerptis editis p. 494; sed ibi eclogarius generaliter maluit scribere *ἄνθρωπος* **pro** *στρατιώτης ἀλλό-*

ἔμφυτος γὰρ πᾶσι τοῖς βασιλεῦσιν ἡ τοῦ πλέονος ἐπιθυμία τοιαύτης οὐκ ἀφέξεται πόλεως.

50. 2. ἀφέξεται] ἐφέξεται ed. Rom.: correctum ex Hoeschelii fragm. p. 494.

φυλος, id quod a Diodoro dictum fuisse puto de Pyrrhi militibus, qui in Italia sociorum agros vastabant. Lege Dionis vaticana excerpta [p. 172. ed. Mai.]. Quare eclogarius editus hoeschelianus videtur sede quoque sua fragmentum dimovisse, quod posuit in XXI. libro; quod mihi verisimilius in XXII. collocandum videtur, in quo Diodorus libro bellum Pyrrhi italicum scripsit. MAI. Qui fretus hoc argumento ὅτι — πόλεως libro XXII. contribuit.

50. 2. Verba haec pertinent ad orationem vel Appii caeci, vel Fabricii, vel Cineae. MAI.

L. XXII.

46 I. Ὅτι Πύῤῥος ὁ βασιλεὺς πολλοὺς τῶν Ἠπειρωτῶν τῶν συνδιαβεβηκότων ἀποβεβληκώς, ἐπεί τις ἠρώτησεν αὐτὸν τῶν ἰδιοξένων πῶς τὰ κατὰ τὴν μάχην ἀπήντησεν αὐτῷ, εἶπεν, ἐὰν ἔτι μιᾷ μάχῃ νικήσῃ τοὺς Ῥωμαίους, οὐδεὶς αὐτῷ τῶν στρατιωτῶν τῶν συνδιαβεβηκότων ἀπολειφθήσεται. ταῖς γὰρ ἀληθείαις ἁπάσας τὰς νίκας ἔσχε Καδμείας κατὰ τὴν παροιμίαν· οἱ γὰρ ἡττηθέντες οὐδὲν ἐταπεινώθησαν διὰ τὸ μέγεθος τῆς ἡγεμονίας, ὁ δὲ νικήσας τὴν τῶν ἡττημένων βλάβην καὶ συμφορὰν ἀνεδέδεκτο.

Ὅτι Κινέας πρεσβευτὴς ἀποσταλεὶς παρὰ Πύῤῥου περὶ διαλύσεως πρὸς Ῥωμαίους, οὗτος πειστικὸς ὢν ἐν τῷ πρεσβεύειν καὶ δῶρα πολυτελῆ τοῖς εὐθέτοις ἐδίδου. οἱ δὲ οὐκ ἔλαβον ταῦτα, πάντες δὲ μίαν καὶ τὴν αὐτὴν ἀπόκρισιν ἔδωκαν αὐτῷ ὅτι νῦν μὲν ὄντος αὐτοῦ πολεμίου μηδαμῶς ἁρμόζειν τὴν δωρεάν, ἐὰν δὲ καταπράξηται τὴν εἰρήνην καὶ γένηται φίλος Ῥωμαίων, ἡδέως προσδέξεσθαι τὴν δόσιν οὖσαν ἀκατηγόρητον.

II. Ὅτι Βρέννος ὁ τῶν Γαλατῶν βασιλεὺς εἰς ναὸν ἐλθὼν ἀργυροῦν μὲν ἢ χρυσοῦν οὐδὲν εἷλεν ἀνάθημα,

51. 3. αὐτὸν — ἰδιοξένων] αὐτῶν — ἰδιοξενιῶν ed. Rom.
51. 4. εἶπεν] εἰπεῖν ed. Rom.
51. 6. ἔσχε] ἔσχεν ed. Rom.
51. 12. πειστικὸς] πιστικὸς ed. Rom.
51. 15. μὲν ὄντος] μένοντος ed. Rom.
51. 17. προσδέξεσθαι] προσδέξασθαι ed. Rom.

51. 7. Quae sequitur proverbii explicatio extat in excerptis editis lib. XXII. p. 495; sed ea ibi libere convertitur ab eclogario, verbis aliquantulum immutatis, in generalem sententiam; quum tamen Diodorus de Pyrrho Romanisque loquatur, uti docet genuinum hoc fragmentum vaticanum. MAI.

51. 12. Duas Cineae ad urbem legationes memorat Plutarchus in Pyrrho capp. XVIII. XXI. MAI.

51. 12. πιστικὸς] Eloquentiam Cineae celebrat Plutarchus XIV, a quo dicitur fuisse Demosthenis auditor. MAI.

51. 20. Diodorum in XXII libro scripsisse Brenni expeditionem in Graeciam, iam constabat ex editis fragmentis p. 497; quibus haec vaticana iam addenda sunt. Porro Diodorus recte res Brenni cum

ἀγάλματα δὲ μόνα λίθινα καὶ ξύλινα μεταλαβὼν κατεγέλασεν ὅτι θεοὺς ἀνθρωπομόρφους εἶναι δοκοῦντες ἵστασαν τούτους ξυλίνους τε καὶ λιθίνους.

Ὅτι οἱ ἐν Δελφοῖς ὄντες κατὰ τὴν τῶν Γαλατῶν
ἔφοδον θεωροῦντες πλησίον ὄντα τὸν κίνδυνον ἐπηρώ-
τησαν τὸν θεὸν εἰ τὰ χρήματα καὶ τὰ τέκνα καὶ τὰς
γυναῖκας ἀποκομίσωσιν ἐκ τοῦ μαντείου πρὸς τὰς ὀχυ-
ρωτάτας τῶν πλησίον πόλεων. ἡ δὲ Πυθία τοῖς Δελφοῖς 47
ἀπόκρισιν ἔδωκε προστάττειν τὸν θεὸν ἐᾶν τὰ ἀναθή-
ματα καὶ τἄλλα τὰ πρὸς τὸν κόσμον τῶν θεῶν ἀνήκοντα
κατὰ χώραν ἐν τῷ μαντείῳ· φυλάξειν γὰρ ἅπαντα τὸν
θεὸν καὶ μετ' αὐτοῦ τὰς λευκὰς κόρας. ὄντων δὲ ἐν τῷ
τεμένει δυεῖν νεῶν παντελῶς ἀρχαίων Ἀθηνᾶς προ-
νάου καὶ Ἀρτέμιδος ταύτας τὰς θεοὺς ὑπέλαβον εἶναι
τὰς διὰ τοῦ χρησμοῦ προσαγορευομένας λευκὰς κόρας.

III. Ὅτι Πύῤῥος προτερήσας περιβοήτῳ νίκῃ τοὺς τῶν Γαλατῶν θυρεοὺς ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς Ἰτωνίδος Ἀθηνᾶς καὶ τῶν ἄλλων λαφύρων τὰ πολυτελέστατα τὴν ἐπιγραφὴν τήνδε ποιησάμενος,

τοὺς θυρεοὺς ὁ Μολοττὸς Ἰτωνίδι δῶρον Ἀθηνᾷ
Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατῶν
πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·

52. 2. δοκοῦντες] δοκοῦντας ed. Rom. et κατεγέλασε.
52. 9. ἔδωκε] ἔδωκεν ed. Rom.
52. 11. κατὰ] abest ab ed. Rom.
52. 17. Ἰτωνίδος] Cod. τριτώνιδος. Vide adnotationes sequentes. MAI., qui scripsit Ἰτώνιδος.
52. 18. τὰ] incipit codicis p. 272.
52. 20. Μολοττός] Pausan. et Plut. et anth. Μολοσσός. MAI.
52. 20. Ἰτωνίδι] Cod. Τριτώνιδι; sed praeterquam quod violatur metrum, Pausanias et Plutarchus mendum corrigunt. Porro nihil notius est Minerva itonia. Vide Livium XXXVI. 20; Polybium IV. 25. XXVI. 5. MAI., qui Ἰτώνιδι.
52. 20. Ἀθηνᾷ] Pausan. Plut. et anth. Ἀθάνα. MAI.
52. 21. ἐκρέμασε Γαλατῶν] Plut. ἐκρέμασεν Γαλατᾶν. Sed Pausan. et anth. planud. ἐκρέμασε. MAI.
52. 22. οὐ] Cod. ὦ; quare dicendum esset *o grande miraculum;* quae sententia infringit epigrammatis acumen: itaque adscivi e Plutarcho οὐ. MAI.

Pyrrhi rebus composuit, quia teste Polybio I. 6. Pyrrhus in Italiam venit anno prius quam Galli in Graeciam. MAI.

52. 15. Habemus hanc historiam versibus politicis diligenter scriptam, cum ipso oraculo, apud Tzetzem chil. XI. 878. sqq. MAI.

52. 17. Minervae itoniae templum inter Pheras et Larissam extitisse ait Pausanias I. 13. MAI.

52. 19. Extat sequens epigramma apud Pausaniam I. 13, et apud Plutarchum in Pyrrho cap. XXVI. In anthologia vero planudea tribuitur Leonidae auctori. MAI.

αἰχματαὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

συνειδότες οὖν ἑαυτοῖς ἠσεβηκόσι τηλικαῦτα προςεδόκων εἰκότως τεύξεσθαι τῆς ἁρμοζούσης τοῖς ἀνομήμασι τιμωρίας.

53. 1. *αἰχματαὶ*] Pausan. Plut. anth. *αἰχμηταί.* MAI.

53. 2. *ἠσεβηκόσι*] *ἠσηβηκόσι* ed. Rom. Quod sequebatur *προςεδόκουν* tuiturus erat Hemsterhusius, quem v. ad schol. Arist. Plut. v. 1128. Exc. Hoeschel. p. 504. 58. *προςδοκοῦντας* in *προςδοκῶντας* mutatum consentientibus Valesianis p. 564. 92. *προςδοκοίη* exemi Xenophonti de arte equestri VIII. 14.

53. 4. Sermo esse videtur de Gallis, qui fano delphico spoliato poenas a numine vindice expectabant. Reapse ad unum omnes variis cladibus occubuerunt. Diodor. XXII. p. 497. MAI.

L. XXIII.

I. Ὅτι Φοίνικες καὶ Ῥωμαῖοι ναυμαχήσαντες, μετὰ δὲ 48 ταῦτα εὐλαβούμενοι τὸ μέγεθος τοῦ προκειμένου πολέμου, διεπρεσβεύσαντο πρὸς τὸν ὕπατον περὶ φιλίας. πολλῶν δὲ λόγων ῥηθέντων καὶ τραχυτέροις λόγοις χρωμένων πρὸς ἀλλήλους οἱ Φοίνικες θαυμάζειν ἔφασαν πῶς διαβαίνειν τολμῶσιν εἰς Σικελίαν Ῥωμαῖοι θαλαττοκρατούντων Καρχηδονίων· φανερὸν γὰρ εἶναι πᾶσιν ὅτι μὴ τηροῦντες τὴν φιλίαν οὐδὲ νίψασθαι τὰς χεῖρας ἐκ τῆς θαλάσσης τολμήσουσιν. οἱ δὲ Ῥωμαῖοι συμβουλεύειν τοῖς Καρχηδονίοις ἔφασαν μὴ διδάσκειν τὰ κατὰ τὴν θάλασσαν πολυπραγμονεῖν: μαθητὰς γὰρ τοὺς Ῥωμαίους ἀεὶ ὄντας γίνεσθαι κρείττους τῶν διδασκάλων. τὸ μὲν γὰρ παλαιὸν αὐτῶν θυρεοῖς τετραγώνοις χρωμένων Τυῤῥηνοὶ χαλκαῖς ἀσπίσι φαλαγγομαχοῦντες καὶ προτρεψάμενοι τὸν ὅμοιον ἀναλαβεῖν ὁπλισμὸν ἡττήθησαν. ἔπειτα πάλιν ἄλλων ἐθνῶν θυρεοῖς χρωμένων οἷς νῦν ἔχουσι καὶ πειραῖς μαχομένων ἀμφότερα μιμησάμενοι περιεγένοντο τῶν εἰσηγησαμένων τὰ καλὰ τῶν παραδειγμάτων. παρὰ δὲ τῶν Ἑλλήνων μαθόντες πολιορκεῖν καὶ ταῖς μηχαναῖς καταβάλλειν τὰ τείχη τὰς πόλεις τῶν διδαξάντων ἠνάγκα- 49

54. 14. φαλαγγομαχοῦντες] φάλαγγα μαχοῦντες ed. Rom.

54. 1. De bello primo Romanorum cum Poenis Diodorum coepisse scribere libro XXIII, fragmenta edita satis docent. MAI.

54. 6. Populi *θαλαττοκρατοῦντες* usque ad Xerxis transmissionem recensentur apud Eusebium chron. I. 36. Et quidem optandum esset ut is catalogus continuaretur, non solum usque ad bellum punicum primum, quo Carthaginienses ea dignitate utebantur, verum etiam, si fieri potest, usque ad hodiernos Britannos marium dominos. MAI.

54. 8. V. Mai. ad Cassium Dion. p. 180., qui *ἔφη τε* (l. *ἔφησε*) *γὰρ* (Hanno) *μηδ' ἀπονίψαι ποτὲ τὰς χεῖρας ἐν τῇ θαλάσσῃ τοῖς Ῥωμαίοις ἐπιτρέψειν.*

54. 15. Extat hic locus de scutorum mutatione aliis verbis scriptus et imperfectior in excerptis editis libri huius XXIII. p. 501. MAI.

54. 19. Puta a Pyrrho vel a tarentino graeci sermonis populo. MAI.

σαν ποιεῖν τὸ προςταττόμενον. καὶ νῦν ἂν Καρχηδόνιοι διὰ ταῦτα μαθεῖν αὐτοὺς ναυμαχεῖν, ταχὺ τοὺς μαθητὰς τῶν διδασκάλων ὄψονται περιγενομένους.

II. Ὅτι τῶν Καρχηδονίων στρατηγὸς Ἀννίβας ἡττηθεὶς ναυμαχίᾳ καὶ φοβούμενος μὴ διὰ τὴν ἧτταν ὑπὸ τῆς γερουσίας τύχῃ τιμωρίας τέχνημα ἐποίει τοιοῦτον. ἀπέστειλέ τινα τῶν φίλων εἰς Καρχηδόνα δοὺς ἐντολὰς ἅς ποτε ἔδοξεν αὐτῷ συμφέρειν. ὁ δὲ καταπλεύσας εἰς τὴν πόλιν καὶ πρὸς τὴν γερουσίαν εἰςαχθεὶς εἶπεν ὅτι προςέταξεν Ἀννίβας ἐρωτῆσαι τὴν βουλὴν εἰ κελεύει ναυμαχῆσαι διακοσίαις ναυσὶ πρὸς Ῥωμαίων ἑκατὸν εἴκοσι. τῶν δὲ ἀναβοησάντων καὶ κελευσάντων Τοιγαροῦν, ἔφη, νεναυμάχηκε καὶ ἡττήμεθα. ἐκεῖνος δὲ ὑμῶν προςταξάντων ἀπολέλυται τῆς αἰτίας. ὁ μὲν οὖν Ἀννίβας εἰδὼς τοὺς πολίτας ἐκ τῶν ἀποτελεσμάτων συκοφαντοῦντας τοὺς στρατηγοὺς τοιούτῳ τρόπῳ τὰς ἐσομένας κατηγορίας ὑπεξείλατο.

διαβεβλημένοι γὰρ ἐν τοῖς πρότερον κινδύνοις ὡς ἂν τῶν ἐλαττωμάτων αἴτιοι γεγονότες ἔσπευδον διὰ ταύτης ναυμαχίας ἀνακτήσασθαι τὰς περὶ τούτων διαβολάς.

III. οὐδὲν δ' οὕτω καταπλήττεται τὰς ψυχὰς ὡς τὸ ἡττηθῆναι τοῖς Καρχηδονίοις. δυνάμενοι γὰρ ῥᾳδίως διαφθεῖραι τὴν ναυτικὴν δύναμιν τῶν πολεμίων περὶ τὸν κατάπλουν οὐδὲ ἐπεχείρησαν τούτους ἀμύνασθαι. τριάκοντα γὰρ ναυσὶ τῶν Ῥωμαίων προςφερομένων τῇ χώρᾳ καὶ μήτε τάξεως μήτε συστήματος ἀδροῦ γενομέ-

55. 2. ναυμαχεῖν] huic deest ἀναγκάσωσι.
55. 5. ὑπὸ] ἀπὸ ed. Rom.
55. 8. ἅς] ἃ ed. Rom.
55. 11. μαχῆσαι] incipit codicis p. 167.
55. 16. στρατηγοὺς] στρατιώτας ed. Rom.
55. 21. ὡς τὸ ἡττηθῆναι] τὸ ἡττηθῆναι ὡς ed. Rom. Sed et τοὺς Καρχηδονίους necessarium.
55. 26. ἀδροῦ] ἁδροῦ ed. Rom.

55. 4. Hannibalem hunc diversum esse et antiquiorem magno Hannibale, nemo non intelligit. MAI. Quem v. ad Dionem historiam eandem narrantem p. 182.

55. 20. Adhuc loquitur auctor de Carthaginiensibus; quibus ducum imperitiam exprobrat etiam Polybius I. 31. 32. MAI.

55. 25. Ergo agitur de excensione Romanorum in Siciliam. Nam in Africam quidem trecentis et quinquaginta navibus ingentem exercitum deportaverunt, uti narrant Appianus punic. cap. III, et Diodorus fragm. p. 504. MAI. Agitur de excensione Atilii in Africam; quem illuc XL. naves anno urbis CCCCHC appulisse scimus. IDEM in Add.

γου πνεύματος βιαιότερον ἐγκειμένου χωρὶς κινδύνου παρῆν αἱρεῖν αὔτανδρα τὰ σκάφη. εἰ μὲν οὖν καταβάν- 50
τες εἰς τὸ πεδίον ἐξ ἴσου παρετάξαντο καὶ πᾶσι τοῖς μέρεσι τῆς δυνάμεως ἐνεργῶς ἐχρήσαντο, ῥᾳδίως ἂν περιεγένοντο τῶν πολεμίων· νῦν δὲ πρὸς αὐτὴν μόνον ἀποβλέψαντες ἐρυμνότητα τοῦ λόφου, καὶ τῶν χρησίμων τὰ μὲν διὰ τὴν εὐλάβειαν προέμενοι τὰ δὲ διὰ τὴν ἀπορίαν διαγνοήσαντες, τοῖς ὅλοις ἔπταισαν.

IV. Ὅτι ἐν ἀθυμίᾳ πολλῇ ὄντων τῶν Καρχηδονίων τρεῖς ἄνδρας ἡ γερουσία τῶν ἐπιφανεστάτων ἀπέστειλε πρεσβευτὰς πρὸς τὸν Ἀτίλιον περὶ εἰρήνης. τούτων δὲ Ἄννων ὁ Ἀμίλκου πρῶτος ὢν τῇ δόξῃ διαλεχθεὶς τοὺς ἁρμόζοντας λόγους τῷ καιρῷ παρεκάλει τὸν ὕπατον μετρίως αὐτοῖς χρήσασθαι καὶ Ῥώμης ἀξίως. ὁ δὲ Ἀτίλιος μεμετεωρισμένος τοῖς εὐημερήμασι καὶ τύχης ἀνθρωπίνης οὐδεμίαν ἔννοιαν λαμβάνων τηλικαῦτα καὶ τοιαῦτα προσέταττεν ὥστε τὴν συντεθειμένην εἰρήνην ὑπ' αὐτοῦ μηδὲν διαφέρειν δουλείας. ἐφ' οἷς ὁρῶν τοὺς ἀγανακτοῦντας ἔφησεν αὐτοὺς δεῖν τοὐναντίον χάριν ἔχειν ἐπὶ τούτοις· μὴ δυναμένων γὰρ αὐτῶν μήτε κατὰ γῆν μήτε κατὰ θάλατταν ὑπὲρ τῆς ἐλευθερίας ἀντιτάξασθαι πᾶν τὸ συγχωρούμενον ὑφ' ἑαυτοῦ λαμβάνειν ἐν δωρεᾷ. τῶν δὲ περὶ τὸν Ἄννωνα παῤῥησιαζομένων πρὸς αὐτὸν ὑπερηφάνως ἀπειλήσας προσέταξεν ἀπιέναι τὴν ταχίστην, ἐπιφθεγξάμενος ὅτι δεῖ τοὺς ἀγαθοὺς ἢ νικᾶν ἢ εἴκειν τοῖς ὑπερέχουσιν. ὁ μὲν οὖν ὕπατος οὔτε τὸ τῆς πατρίδος ἐν τοῖς τοιούτοις μιμησάμενος οὔτε τὴν ἐκ θεοῦ νέμεσιν εὐλαβηθεὶς συντόμως τῆς ὑπερηφανίας ἀξίᾳ περιέπεσε τιμωρίᾳ.

Πάντες μὲν οὖν ἄνθρωποι κατὰ τὰς ἀτυχίας μᾶλλον εἰώθασι τοῦ δαιμονίου μνημονεύειν, καὶ πολλάκις

56. 5. αὐτὴν] ταύτην ed. Rom. Malim autem τὴν ἐρυμνότητα.
56. 7. ἀπορίαν] fortasse ἀπειρίαν.
56. 15. τύχης] Cod. ψυχῆς. MAI. Antea εὐημερήμασιν ed. Rom.
56. 16. ἔννοιαν] ἔννοιαν sic ed. Rom.
56. 18. τοὺς] Ita cod. MAI. Aut scribendum αὐτοὺς aut addendum πρεσβευτάς. Paullo ante δουλίας ed. Rom.
56. 21. πᾶν] incipit codicis p. 168.
56. 31. δαιμονίου] Ed. θεοῦ, MAI.

56. 25. Haec sententia ab *ὅτι δεῖ* usque ad *ὑπερέχουσιν* extat solitaria etiam in fragm. ed. p. 503. Nunc vero cognoscimus pertinere hanc particulam ad Reguli responsum. Est autem Diodori plagium ex Polybio XVII. 4. MAI.

56. 29. Reguli haec superbia reprehenditur etiam in excerptis editis libri XXIII. p. 504; unde sine dubio cognoscimus vaticanum hunc locum pertinere ad dictum Diodori librum. MAI.

51 ἐν ταῖς εὐπραξίαις ὡς μύθων πεπλασμένων τῶν θεῶν καταφρονοῦντες κατὰ τὰς ἐλαττώσεις ἀνατρέχουσιν ἐπὶ τὴν φυσικὴν εὐλάβειαν, μάλιστα δὲ οἱ Καρχηδόνιοι διὰ τὸ μέγεθος τῶν ἐπηρτημένων φόβων ἀναζητοῦντες τὰς ἐκ τῶν πολλῶν χρόνων παραλελειμμένας θυσίας ἐπολυπλασίαζον τὰς εἰς τὸ θεῖον τιμάς.

V. Ὅτι Ξάνθιππος ὁ Σπαρτιάτης συνεβούλευε τοῖς στρατηγοῖς προάγειν ἐπὶ τοὺς πολεμίους· καὶ ταῦτα ἔφησεν αὐτὸν λέγειν οὐχ ἵνα ἐκείνους παροξύνας καὶ παρακαλέσας αὐτὸς ἐκτὸς ᾖ τῶν κινδύνων, ἀλλ' ὅπως εἰδῶσιν ὅτι πέπεισται ταῦτα ποιούντων αὐτῶν ῥᾳδίως προτερήσειν, αὐτός τε καθηγήσεσθαι τῆς μάχης καὶ πρῶτος ἐν τοῖς κινδύνοις ἀνδραγαθήσειν.

Ὅτι Ξανθίππου κατὰ τὸν πόλεμον τοῦ Σπαρτιάτου παριππεύοντος καὶ τοὺς πεφευγότας πεζοὺς ἀναστρέφοντος, εἰπόντος δέ τινος ὅτι ῥᾳδίως ἐφ' ἵππου καθήμενος τοὺς ἄλλους εἰς τὸν κίνδυνον παρακαλεῖ, παραχρῆμα καθαλλόμενος τὸν μὲν ἵππον τῶν παίδων τινὶ παρέδω-

57. 1. ἐν ταῖς εὐπραξίαις] Ed. ἐν δὲ ταῖς εὐημερίαις καὶ εὐπραξίαις. MAI.

57. 1. τῶν θεῶν] Ed. τοῦ θεοῦ. Sed est correctio lectionis τῷ θεῷ pro τῶν θεῶν, quae extat ibi in variis lectionibus. MAI.

57. 2. κατὰ] Ed. μετά; sed placet κατά, ut paulo ante scribitur. MAI. Qui si Hoeschelianam inspexisset, μετὰ vidisset typothetae Amstelod. diligentiae deberi.

57. 7. Ξανθίππης] Ita cod. MAI.

57. 7. συνεβούλευε] συνεβουλεύετο ed. Rom, quem datismum multis olim exagitavi in Xenoph. Hist. Gr. VI. 5. 34. et Demosthen. de Rhod. libert. p. 196. 26. R. Librariis tamen sollemne est in hanc partem peccare, veluti apud Platonem Menexeno p. 234. B. Aeschinem F. L. §. 79. Xenoph. Anabas. II. 1. 18. VI. 6. 29., vix ut Ioanni Diacono ad Hesiodi Scut. v. 338. concesserim συμβουλευσαμένη pro συμβουλεύσασα.

57. 9. αὐτόν] αὐτὸν ed. Rom.

57. 11. εἰδῶσιν] εἴδωσιν ed. Rom.

57. 12. καθηγήσασθαι] Malim καθηγήσεσθαι. MAI.

57. 14. κατὰ τὸν π. τοῦ Σ.] praestabat τοῦ Σ. κατὰ τὸν π. Sed verba similiter disiecta sunt p. 59. 1. s.

57. 8. Locus hic de religione in calamitatibus renascente extat in excerptis editis, sed aliquantulum varians, quia ibi christianus eclogarius nonnulla verba, praesertim ethnica, immutavit. MAI.

57. 6. Loquitur Diodorus de humanis fortasse victimis quas superstitiosi Carthaginienses diis immolabant in maximis calamitatibus, scelere pro remedio utentes; ut narrat Iustinus XVIII. 6. (quem exscribit Orosius IV. 6.) circa ipsum tempus extremum belli punici in Sicilia. MAI.

κεν, αὐτὸς δὲ πεζῇ παριὼν ἐδεῖτο μὴ γενέσθαι τῆς ἥττης καὶ τῆς ἀπωλείας αἰτίους ἅπαντος τοῦ στρατοπέδου.

πάντα γὰρ τῇ συνέσει βάσιμα καὶ δυνατὰ γίνεται τῆς τέχνης ἐν πᾶσι χειρουμένης τὴν βίαν. — Καὶ καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἐστι δοῦλον, οὕτως αἱ μεγάλαι δυνάμεις τῇ τῶν ἡγεμόνων ὑπείκουσι φρονήσει. — Τοῦ πρὸς τὸ συμφέρον βουλευτηρίου πάντα κατισχύοντος.

58. 3. *βάσιμα*] *βάδιμα* ed. Rom.
58. 3. *γίνεται*] *ἄγειν* Excerpta Hoeschel.
58. 7. *πάντα*] *παντὸς* Excerpta Hoeschel.: sed utraque mendose opinor τοῦ dirimunt a *βουλευτηρίου*.

58. 6. Haec sententia de corpore et anima, itemque sequens de senatus regimine, extat etiam in fragmentis hoeschelianis p. 504. in libro XXIII. Ego vero utramque retinui, ut lectores cognoscerent, has vaticanas reliquias pertinere adhuc ad praedictum librum XXIII. Sententia similis priori. Utraque vero sententia loquitur de Xanthippo, occurrit etiam in valesianis excerptis p. 576. MAI.

58. 7. Intellige senatum romanum clade Reguli audita minime animis debilitatum. MAI.

L. XXIV.

52 I. Ὅτι τοὺς φιλαργυρωτάτους ἐπελέξαντο πρὸς τὸν ἐμπρησμὸν τῶν μηχανημάτων καὶ τοὺς θρασυτάτους οἱ Καρχηδόνιοι τριακοσίους ὄντας τὸν ἀριθμόν· τὰ γὰρ πλήθη ταῦτα μάλιστα προτρέπεται τοὺς προχείρους παντὸς καταφρονεῖν κινδύνου. ὡς ἐπὶ πολὺ γὰρ ἐν ταῖς προςβολαῖς καὶ τειχομαχίαις συνέβαινε τοὺς ἀρίστους ἀποθνήσκειν ἑκουσίως προπίπτοντας εἰς κινδύνους δυςβοηθήτους.

περικατάληπτος γενόμενος κατέφυγε πρὸς τὴν γῆν, ἐν ἐλάττονι θέμενος τὸν ἀπὸ τῆς ναυαγίας φόβον τοῦ παρὰ τῶν πολεμίων κινδύνου.

οὐδενὶ δηλώσας τὸ βεβουλευμένον· ὑπελάμβανε γὰρ τὰ τοιαῦτα τῶν στρατηγημάτων διαδιδόμενα πρὸς τοὺς φίλους ἢ τοῖς πολεμίοις γνώριμα γίνεσθαι διὰ τῶν αὐτομόλων ἢ τοῖς στρατιώταις ἐμποιεῖν δειλίαν προςδοκῶσι μέγεθος κινδύνου.

59. 4. τοὺς] incipit codicis p. 129.

59. 2. Agitur in hoc fragmento de machinis Romanorum obsidionalibus ad Lilybaeum, quas obsessi Poeni post multa tentamenta inflammaverunt; cuius rei mentio est in hoeschelianis quoque Diodori excerptis initio libri XXIV; unde etiam cognoscimus, vaticanum hoc fragmentum ad eundem librum pertinere. De Lilybaei obsidione legesis etiam valesiana Diodori excerpta initio item libri XXIV. De machinis operibusque Romanorum incensis consule Polybium I. 45. 48. MAI.

59. 7. Has clades ad Lilybaeum narrat Polybius I. 42. 45. 49. Porro hae sententiae fortasse abruptae sunt. MAI. Immo omnes arte cohaerent.

59. 10. Valde suspicor loqui Diodorum de rhodio illo homine, qui inspectante romana classe saepe cum uno navigio Lilybaeum urbem obsessam mira dexteritate ingressus, ex eaque digressus est; donec tandem a Romanis captus fuit. Polyb. I. 47. MAI.

59. 11. Loqui arbitror Diodorum de Hamilcare cognomento Barca, qui audaci consilio occupavit in Sicilia Erctem, locum opportunissimum, inter duos Romanorum exercitus situm. Polyb. I. 56. Vel potius intelligitur occupatio urbis Erycinorum per eundem Hamilcarem Polyb. I. 58, Nep. Ham. cap. I; quam nocturno facinore fuisse ab eo captam discimus ex Diodori fragmentis ed. p. 509. MAI.

59. 15. Haec sententia de celandis strategematibus legitur in fragmentis editis libri XXIV. p. 509. Sed praeter quam quod ibi variat ob eclogarii arbitria, utiliter eam conservavi ob ostendendam horum fragmentorum propriam sedem. MAI.

II. Ὅτι τοῦ Ἀμίλκου διαταξαμένου μὴ διαρπάζειν 53 τοὺς στρατιώτας Οὐοδόστωρ οὐκ ἐπείσθη καὶ πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν. οὕτως ἐν παντὶ καιρῷ συμβαίνει τὴν εὐταξίαν γίνεσθαι μεγάλων ἀγαθῶν αἰτίαν, ὥςθ' οἱ μὲν πεζοὶ προγεγενημένης εὐημερίας τηλικαύτης οὐχ ὅτι μόνον ταύτην ἀνέτρεψαν ἀλλὰ καὶ πάντες ἐκινδύνευσαν ἀπολέσθαι, οἱ δὲ ἱππεῖς οὐ πλείους διακοσίων ὄντες οὐ μόνον ἑαυτοὺς διέσωσαν ἀλλὰ καὶ τοῖς ἄλλοις τὴν ἀσφάλειαν παρεσκεύασαν.

Ὅτι Ἀμίλκας ἔπεμψε κήρυκας περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως. ὁ δὲ ὕπατος Φουνδάνιος ἐκέλευσε τοῖς ἥκουσι μὴ τοὺς νεκροὺς ἀλλὰ τοὺς ζῶντας, εἰ νοῦν ἔχουσιν, ὑποσπόνδους αἰτεῖσθαι. ὑπερηφάνου μὲν οὖν γενομένης τῆς ἀποκρίσεως οὗτος οὐ τοῖς τυχοῦσιν ἐλαττώμασι περιέπεσεν εὐθύς, ὥςτε πολλοῖς δόξαι τὴν μεγαλαυχίαν τετευχέναι τῆς παρὰ τοῦ δαιμονίου νεμέσεως.

III. Ὅτι τοῦ Φουνδανίου περὶ τῆς τῶν νεκρῶν ταφῆς ἀποστείλαντος κήρυκας Βάρκας πολὺ κεχωρισμένην τῆς προγεγενημένης ἀπόφασιν ἐποιήσατο. φήσας γὰρ μάχεσθαι μὲν τοῖς ζῶσι, διαλελύσθαι δὲ πρὸς τοὺς τετελευτηκότας συνεχώρησε τὴν ταφήν.

Ἐπὶ τοσοῦτον γὰρ προέβη τῆς ἀνδραγαθίας ὥςτε καὶ τοὺς στρατηγοὺς αὐτοὺς παρ' ἀμφοτέροις ἀριστεύειν καὶ τῶν κινδύνων προκαθηγεῖσθαι. ἔνθα δὴ συνέβαινεν ἀλογώτατα πάθη τοῖς ἀρίστοις τῶν ἀνδρῶν ἐνίοτε. οἱ γὰρ ταῖς εὐψυχίαις ὑπερέχοντες τῶν ἀνθεστηκότων κατα- 54 δυομένης τῆς ἰδίας νηὸς ἡλίσκοντο, ταῖς μὲν ἀρεταῖς

60. 10. ἔπεμψεν et 14. περιέπεσε ed. Rom.
60. 16. τετευχέναι] τετυχέναι ed. Rom.
60. 24. συνέβαινεν] συνέβαινε ed. Rom. et antea τοῦ pro τῶν.
60. 26. εὐψυχίαις] εὐτυχίαις ed. Rom.

60. 8. Cladem hanc evenisse puto intra illud biennium, quo ad Erycem pugnatum esse testis est Polybius I. 58. Iam Vodostoris carthaginiensis memoriam nullam inveni. MAI. Qui eundem esse quem Boodem a Polybio I. 21. 6. memoratum hariolatur ad Dionem p. 183.

60. 3. Sententia haec de militaris disciplinae ordinisque necessitate extat in fragm. editis huius libri XXIV. p. 509. Nunc cognoscimus dictam fuisse ob Vodostoris cladem. MAI.

60. 11. Φουνδάνιος] Consulatum hic gessit anno ante Lutatium, quo demum consule bellum punicum debellatum fuit. MAI.

60. 21. Hamilcaris Barcae, qui pater magni Hannibalis fuit, prudentia et moderatio satis est illustris apud plerosque historicos Diodorum, Polybium, Nepotem. MAI.

οὐκ ἐνδιδόντες, τῷ δὲ τῆς ἀνάγκης ἀβοηθήτῳ κρατούμενοι. τί γὰρ ὄφελος ἀνδρείας ὅταν τοῦ σκάφους βυθισθέντος τὸ σῶμα τῆς βάσεως ἀποστερηθὲν ὑπὸ τῆς θαλάσσης τοῖς πολεμίοις ἐγχειρίζηται;

IV. Ὅτι ὁ Βάρκας, ἐπειδὴ παρεγενήθησαν πρὸς αὐτὸν οἱ πρέσβεις τῶν Ῥωμαίων μετὰ τοῦ Γέσκωνος καὶ τὰς συνθήκας ἀνεγίνωσκον, μέχρι μέν τινος ἐσιώπα· ὡς δὲ ἤκουσε τά τε ὅπλα παραδιδόναι καὶ τοὺς αὐτομόλους, οὐκ ἐκαρτέρησεν, ἀλλ' ἐκέλευσεν ἀπιέναι τὴν ταχίστην· ἕτοιμος γὰρ ἔφησεν εἶναι μᾶλλον ἀποθανεῖν μαχόμενος ἢ φιλοψυχήσας προςδέξασθαι πρᾶξιν ἐπονείδιστον, καὶ ταῦτ' εἰδὼς τὴν τύχην πρὸς τοὺς ἐγκαρτεροῦντας τοῖς δεινοῖς αὐτομολοῦσαν καὶ μεγίστην ἀπόδειξιν τῆς ἀνελπίστου μεταβολῆς παρεσχημένην τὴν περὶ τὸν Ἀτίλιον συμφοράν.

61. 1. τῆς] incipit codicis p. 130.
61. 2. ὅταν τοῦ] Male lectum fuit in ed. ὅτ' αὐτοῦ pro ὅταν τοῦ non intellecta differentia literae υ ab ν. MAI.
61. 4. ἐγχειρίζηται] Ed. ἐγχειρίζεται. MAI.
61. 14. παρεσχημένην] παρεσχομένην ed. Rom.

61. 1. Videtur sermo esse de ultimo navali proelio inter Hannonem poenum et Lutatium romanum, de quo adi Polybium I. 61. MAI.

61. 2. Sequens sententia de naufragis extat in extremis fragmentis editis huius libri XXIV. p. 509, non sine aliqua varietate. MAI.

61. 6. Gescon carthaginiensis praefectus erat lilybaetanae urbis, cum pax coaluit, Polyb. I. 66. Ex hoc autem fragmento cognoscimus Gesconem venisse Lilybaeo cum romanis legatis ad Hamilcarem Barcam qui Erycem tenebat, quique pacis faciendae summus arbiter erat, ut ait Polybius I. 62. MAI.

61. 15. Ergo Romani iniquas conditiones primo obtulerant, cuius rei non facit mentionem Polybius; quibus a Barca repudiatis, mitiores exhibuerunt illas quae sunt in foedere scripto apud Polybium I. 62. Errat ergo Appianus in reb. sical. cap. II. qui retinet in foedere illam quoque conditionem de tradendis transfugis, quae cur fuerit et quam recte a Polybio et a Zonara VIII. 17. omissa, nunc e Diodori vaticano fragmento cognoscimus. Armorum vero tradendorum nec Polybius nec Appianus neque denique Zonaras meminerunt. Sed ecce tibi belle conspirans cum Diodoro Nepos Ham. cap. I. *Hamilcar in pace concilianda tanta fuit ferocia, ut quum Catulus negaret, se bellum compositurum, nisi ille cum suis qui Erycem tenuerant, armis relictis, Sicilia decederent; succumbente patria, ipse periturum se potius dixerit quam cum tanto flagitio domum rediret: non enim suae esse virtutis, arma a patria accepta adversus hostes, adversariis tradere. Huius pertinaciae cessit Catulus.* Zonaras denique nescio quibus tabulis fretus, ait Hamilcarem Barcam in foedere solam sub iugum missionem fuisse deprecatum.

Cum bello primo punico desivisse librum Diodori quartum et vigesimum certiores nos faciunt fragmenta edita p. 509. Recte igitur hoc loco retinui vaticanum fragmentum in quo apud Barcam de bello finiendo agitur, componendaque pace, id quod reapse post tot tamque diuturna certamina accidit. MAI.

L. X X V.

I. διὸ καὶ τοῖς ἀποστάταις οὐχ ἧττον πολιορκεῖσθαι 55
συνέβαινεν ἢ πολιορκεῖν διὰ τὸ σπανίζειν τροφῆς.

συνέβαινε δὲ ταῖς μὲν τόλμαις αὐτοὺς μὴ λείπεσθαι τῶν πολεμίων, διὰ δὲ τὰς ἀπειρίας τῶν ἡγεμόνων μεγάλα βλάπτεσθαι. διὸ καὶ τότε συνιδεῖν ἦν ἐπ' αὐτῆς τῆς πείρας ἡλίκην ὑπερβολὴν ἔχοι στρατηγικὴ σύνεσις ἰδιωτικῆς ἀπειρίας καὶ τριβῆς ἀπόνου καὶ στρατιωτικῆς.

τὸ γὰρ δαιμόνιον ὡς ἔοικε ταύτην ἀμοιβὴν τῶν ἀσεβημάτων αὐτοῖς ἐδικαίωσεν.

Ὅτι τὸν Σπόνδιον ἀνεσταύρωσεν Ἀμίλκας. ὁ δὲ Μάθως Ἀννίβαν εἰς τὸν αὐτὸν σταυρὸν αἰχμάλωτον λα-

62. 5. *αὐτῆς τῆς*] *αὐτῆς* ed. Rom.: correctum ex fragmentis Hoeschelianis.

62. 6. *στρατηγικὴ*] Cod. *στρατιωτική*. MAI.

62. 10. *Σπόνδιον*] Ita cod. non *Σπένδιον*, ut vulgo scribitur. MAI.

62. 1. Suprascriptum de Barca fragmentum subsequitur in codice, et quidem in eadem pagina 130. eodemque versu locus ille ex Epicuri ratis sententiis, a vocabulo *Ἐπίκουρος* usque ad *συμφορὰς*, qui in hoeschelianis fragmentis editis ponitur initio libri XXV. Hinc ergo rursus cognoscimus transitum fieri a libro XXIV. ad XXV. Et eum quidem locum, utpote editum ego praetermitto; ubi tamen in ed. est v. 1: *ἐπὶ ταῖς*, codex melius habet *ἐν ταῖς*; ubi ed. *τὴν κακίαν*, codex tantum *κακίαν*; ubi denique ed. *καὶ συλλήβδην*, codex plenius *καὶ αὐτοῖς συλλήβδην*. MAI.

62. 2. Pertinet hoc excerptum ad bellum mercenariorum rebellium in Africa adversus Carthaginienses, quod accurate scribit Polybius sub finem primi libri. Diodorus autem sententiam prope ad literam sumit a Polybio I. 84, qui ait rebelles tum obsiderent Carthaginem, vicissim ab Hamilcare Barca, qui agrum incursabat, commeatu exclusos fuisse ac prope obsessos. MAI.

62. 7. Rursum Diodorus repetundarum fit reus; quia scilicet a Polybio loc. cit. hoc fragmentum prope ad litteram exscribit; cuius quidem fragmenti pars posterior extat etiam sub initiis libri huius XXV. in fragmentis editis Diodori p. 510. Porro autem sermo est de mercenariis qui inferiores Poenis erant non pugnandi ferocia sed ducum peritia. MAI.

62. 10. Polybius loc. cit. *τοῦ δαιμονίου τὴν οἰκείαν ἀμοιβὴν αὐτοῖς ἐπιφέροντος, τῇ πρὸς τοὺς πέλας ἀσεβείᾳ καὶ παρανομίᾳ.* Loquitur de mercenariis qui fame adacti, mutuo vorabant. MAI.

56 βῶν προςήλωσεν, ὥςτε δοκεῖν τὴν τύχην ὥςπερ ἐπίτηδες ἐναλλὰξ τὰς εὐημερίας καὶ τὰς ἥττας ἀπονέμειν τοῖς περὶ τὴν ἀνθρωπίνην φύσιν ἠσεβηκόσιν.

Ὅτι δύω πόλεις οὐδεμίαν ἀφορμὴν εἶχον πρὸς διάλυσιν διὰ τὸ μὴ καταλελοιπέναι σφίσιν ἐλέῳ μηδὲ συγγνώμῃ τόπον τινὰ κατὰ τὰς πρώτας ἐπιβολάς. οὕτω κατὰ τὰς ἁμαρτίας μεγάλην ἔχει διαφορὰν ἡ μετριότης καὶ τὸ μηδὲν ὑπὲρ ἄνθρωπον ἐπιτηδεύειν.

II. Ὅτι οἱ μὲν Κελτοὶ τοῖς πλήθεσιν ὄντες πολλαπλάσιοι καὶ πεφρονηματισμένοι τῷ θράσει καὶ ταῖς ἀλκαῖς καταπεφρονηκότως διηγωνίζοντο, οἱ δὲ περὶ τὸν Βάρκαν τὸ τοῦ πλήθους ἐλλειπὲς ταῖς ἐμπειρίαις ἐπειρῶντο διορθώσασθαι. οἱ μὲν οὖν πᾶσιν ἔδοξαν ἐμφρόνως περὶ τούτων βεβουλεῦσθαι, ἡ δὲ τύχη παρ' ἐλπίδας ἐβράβευσε τὰς πράξεις καὶ τὸ δοκοῦν ἀδύνατον εἶναι καὶ ἐπικίνδυνον παραδόξως κατώρθωσεν.

Ὅτι Ἀσδρούβας μαθὼν πρακτικωτέραν οὖσαν τῆς βίας τὴν ἐπιείκειαν προέκρινε τὴν εἰρήνην τοῦ πολέμου.

διὸ πᾶσα πόλις ἀεὶ τὰ παραγγελλόμενα φιλοπευ-

63. 2. ἐναλλὰξ] ἐνάλλαξ ed. Rom.
63. 6. τόπον] τρόπον ed. Rom.
63. 6. κατὰ] incipit codicis p. 219.
63. 10. καὶ πεφρονηματισμένοι] καταπεφρονηματισμένοι ed. Rom.
63. 15. ἐβράβευσε] ἐβράβευσεν ed. Rom.

63. 1. Polyb. I. 86. MAI.

63. 3. Variat verbis, non sententia, Polybius loc. cit. MAI.

63. 4. Utica et Hippo (vel potius Hippagreta Diodor. fragm. p. 567. Polyb. I. 70) veniam desperantes teste Polybio I. 88, cuius heic quoque plagiarius Diodorus est. Nec tamen quisquam putet Polybium potius quam Diodorum occurrere in hac vatic. membrana, et me labi errore, dum alterum suppono alteri. Namque heic revera excerpi Diodorum, testis est tum universus quaternio, tum nominatim materia paginae utriusque 129 et 130, quibus in paginis sunt partes Diodori non dubiae, ut illa ex Epicuro, ut aliae quae iamdiu in fragmentis Diodori editis extant. Et quidem postrema sententia, ab οὕτω ad ἐπιβολὰς, est apud Diodor. fragm. ed. p. 510. MAI.

63. 16. Intellige bella in Hispania ab Hamilcare Barca feliciter confecta, non solum contra Iberos verum etiam contra Gallorum ducem Istolatium; quae congestim narrantur in Diodori fragmentis editis lib. XXV. p. 510. sqq. MAI.

63. 18. Hasdrubal, Hamilcaris in imperio successor, Hispaniam pacifice demum tenuit. Diod. fragm. ed lib. XXV. 511. Vel intelligitur deditio Numidarum in Africa rebellantium, quibus sub iugum missis pepercit Hasdrubal. Diodor. fragm. lib. XXV. p. 510. MAI.

63. 19. Utrum Carthago, pace numidica nondum composita, intelligenda sit, an alia quaevis civitas, non divino. MAI.

στοῦσα καὶ ταῖς διαδιδομέναις φήμαις μετάμελος οὖσα πολλῆς ἀγωνίας ἐπληροῦτο.

III. Ὅτι ὁ πρεσβύτατος τῶν ἐκ τῆς Ῥώμης ἐκπεμφθέντων πρεσβευτῶν ἐν τῷ συνεδρίῳ τῶν Καρχηδονίων 57 δείξας τῇ γερουσίᾳ τὸν κόλπον [οἱ παρὰ τοῦ πρεσβευτοῦ Ῥωμαίων γενόμενοι πρὸς τὴν γερουσίαν τῶν Καρχηδονίων λόγοι] ἐψήφισαν φέρειν αὐτὸν καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον· ἀπολείψειν οὖν τούτων ὁπότερον ἂν οἱ Καρχηδόνιοι βουληθῶσιν. τοῦ δὲ τῶν Καρχηδονίων βασιλέως εἰπόντος ποιεῖν αὐτὸν ὁπότερον ἂν βούλοιτο ἔφη Τὸν πόλεμον ἐφίημι. τῶν δὲ Καρχηδονίων οἱ πλείους εὐθὺς ἀνεβόησαν δέχεσθαι.

IV. Ὅτι οἱ κατὰ τὴν Οὐικτόμελαν πόλιν ἐκπολιορκηθέντες συνέφυγον εἰς τὰς ἰδίας οἰκίας ἐπὶ τέκνα καὶ γυναῖκας τὴν ἐσχάτην παρ' αὐτῶν ληψόμενοι τέρψιν, εἰ δή τίς ἐστι τέρψις τοῖς ἀπολλυμένοις εἰ μὴ δάκρυα καὶ τὸ τελευταῖον ἐν τῷ ζῆν τῶν συγγενῶν ἀσπασμός· ταῦτα γὰρ τοῖς ἀτυχοῦσιν ἔχειν τινὰ δοκεῖ κουφισμὸν τῶν ἀκληρημάτων. οἱ μὲν οὖν πλεῖστοι τὰς οἰκίας ἐμπρήσαντες πανοικὶ μετὰ τῶν συγγενῶν κατεφλέχθησαν καὶ τὸν ἐπὶ τῆς ἰδίας ἑστίας τάφον ἑαυτοῖς ἐπέστησαν, τινὲς δὲ εὐψυχοτάτως τοὺς ἰδίους προανελόντες ἑαυτοὺς ἐπικα-

64. 7. φέρειν] Cod. φέρε. MAI. Quae uncis circumscripsi ex margine illata sunt, cui simile lemma allitum vide supra p. 2. 7., infra p. 110. M.: nam quae itidem inepte inseruntur p. 62. M. paullo alius generis sunt. Iam autem pro ἐψήφισαν — αὐτὸν sententia requirit ἔφησε — αὐτόν.

64. 8. ὁπότερον] πότερον ed. Rom.

64. 16. δή] δέ ed. Rom.

64. 18. ἀτυχοῦσιν] ἀποτυχοῦσιν ed. Rom.

64. 21. τάφον] τάφρον ed. Rom., sed *sepulcrum* interpretatio.

64. 22. εὐψυχοτάτως] εὐτυχωτάτως ed. Rom.

64. 12. Res notissima, veluti apud Appianum hisp. cap. XIII, Polyb. III. 33. MAI.

64. 13. Quaerendum diligentius de hac urbe, cuius nomen ita se habet evidenter in codice; excidium autem pertinet ad belli hannibalici initium. De Sagunto certe non est cogitandum, cuius suprema fata aliter narrantur in editis Diodori fragmentis lib. XXV. fin. Praeter quam quod Sagunti eversio contigit ante bellum secundum denunciatum. Utrum autem haec de capta Victomela narratio ad XXV, an potius ad XXVI librum pertineat, merito dubitandum est. MAI. Qui fecit libri XXV.

64. 22. εὐτυχωτάτως] Contradicunt iure meritoque Polybius XXX. 7, et Cicero de rep. VI, 15, cum aliis auctoribus ibi a me laudatis. MAI.

τέσφαξαν, αἱρετώτερον τὸν αὐτόχειρα θάνατον ὑπολαβόντες τοῦ διὰ τῶν πολεμίων μεθ' ὕβρεως συντελουμένου.

65. 8. Quaeret fortasse aliquis cur tam brevia horum Diodori librorum excerpta in vaticano codice sint? Atqui is meminisse debet, iam horum librorum alias eclogas extare, quas Hoeschelius et Valesius in aliis codicibus invenerunt, sub aliis titulis. Nunc codex vaticanus, quum ea sola propemodum excerpta habeat, quae pertinent ad titulum *de sententiis*; sequitur ut ea magnae molis esse nequeant. Fieri enim potest, ut in omnibus fere constantiniani operis titulis, qui plus quinquaginta fuerunt, pars aliquantula singulorum librorum concisa fuerit: atque hinc cognoscimus, cur satis modica vaticano huic titulo *de sententiis* ex unoquoque libro pars obtigerit. MAI.

I. Ὅτι Ἀννίβας πρὸς τὴν τοῦ δικτάτωρος Φαβίου σύν- 58
εσιν ἀντιμηχανώμενος εἰς παράταξιν αὐτὸν προὐκαλεῖτο καὶ τοῖς τῆς δειλίας ὀνείδεσιν ἐπειρᾶτο συναναγκάζειν εἰς τὴν διὰ μάχης κρίσιν συγκαταβαίνειν. ὡς δὲ οὐκ ἔπειθεν, ὁ δῆμος τῶν Ῥωμαίων ἐβλασφήμει τὸν δικτάτωρα καὶ παιδαγωγὸν ἐπικαλῶν αὐτὸν ὠνείδιζε τὴν δειλίαν· ὁ δὲ τὴν ὕβριν ἀταράχως καὶ βαρέως ἔφερεν.

Ὅτι φύσει οἱ ἄνθρωποι ταῖς μὲν εὐημερίαις προστρέχουσι, τῇ δὲ πταισάντων τύχῃ συνεπιτίθενται.

Ὅτι κατὰ τὴν Καπύην προτεθείσης βουλῆς ἐν ἐκκλησίᾳ κοινῇ τί πρακτέον εἴη περὶ τῆς ἀποστάσεως ἐπέτρεψαν οἱ Καπυηνοὶ γνώμην ἀποφήνασθαι τῷ προσαγορευομένῳ Παγκύλῳ Παύκῳ. ὁ δὲ ἐκτὸς τῶν φρενῶν γεγονὼς διὰ τὸν Ἀννίβου φόβον ὤμοσε τοῖς πολίταις ἰδιότροπον ὅρκον. ἔφησε γάρ, εἰ τῶν ἑκατὸν ἐλπίδα μίαν

66. 1. *κτάτωρος*] incipit codicis p. 220.

66. 9. *τῶν* addunt fragmenta Hoeschel. Mox *φθασάντων* codex: quod correxerat Rhodomannus.

66. 15. *ὅρκον*] *ὅρκον* ed. Rom.

66. 4. Res ab Hannibale in Italia gestas scripsisse Diodorum in XXVI libro, valesiana fragmenta edita nos docent. MAI.

66. 6. Ludebat nimirum populus in significatu vocabuli *dictator*, qui est *magister*. Videsis Ciceronem de rep. I. 40, cum scholiis meis. MAI.

66. 9. Extat brevis haec sententia etiam in fragmentis editis libri XXVI. p. 513, ubi miror tam hoeschelianum codicem quam meum vaticanum habere *φθασάντων* pro *πταισάντων*. MAI.

66. 13. *Παγκύλῳ Παύκῳ*] Hic est, qui apud Livii XXIII. 2. sqq. vulgatum textum dicitur *Pacuvius Calavius*, quemque rectius nonnulli critici scribendum Pacullum existimant. Eadem corruptio *Pacuvius* pro *Pacullo* vel *Pactulo* irrepsit etiam in Silium XI. 58, observantibus item criticis; sine dubio a librariorum inscitia, quibus notum erat vocabulum *Pacuvius*, ignotum *Pacullus* vel *Pactulus*. Nunc Diodorus exhibet nobis *Pancylum Paucum* pro *Pacuvio Calavio*. Ad rem quod adtinet, hic sane vir Capuam Poenis prodidit, testibus etiam Livio Silioque; sed aliter apud hos narratio fit. MAI.

66. 15. *εἰ τῶν ἑκατὸν ἐλπίδα μίαν εἶχεν*] Xenophon Anab. II. 1. 19. *εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι.* Phalaris p. 138. *οὐδεμίαν ἐκ τῶν μυρίων ἔχοντες ἐλπίδα σωθῆναι.*

59 εἶχεν ἐν τοῖς Ῥωμαίοις, οὐκ ἂν μετέστη πρὸς Καρχηδονίους· νῦν δὲ φανερᾶς οὔσης τῆς τῶν πολεμίων ὑπεροχῆς καὶ τοῦ κινδύνου ταῖς πύλαις ἐφεστῶτος ἀναγκαῖον εἶναι ταῖς ὑπεροχαῖς εἴκειν. τούτῳ δὲ τῷ τρόπῳ πάντων συγκαταθεμένων προςτίθεσθαι τοῖς Καρχηδονίοις

Ὅτι ἡ ἀνθρωπίνη φύσις τὴν ἀσυνήθη τῶν πόνων ἄσκησιν καὶ δίαιταν εὐτελῆ δυςχερῶς προςίεται, τὴν δὲ ῥαστώνην καὶ τρυφὴν ἑτοίμως διώκει.

II. *Ποικίλη δέ τις ἀνωμαλία κατεῖχε τὰς πόλεις, ὡς ἂν τῆς ὁμονοίας δεῦρο κἀκεῖσε λαβούσης τὰς ῥοπάς.*

Ὅτι ταῖς τῶν πραγμάτων μεταβολαῖς καὶ τὰς τῶν φίλων εὐνοίας θεωρεῖν ἔστι συμμεταβαλλούσας.

Ὅτι αἱ τῶν ἀγαθῶν ἀνδρῶν ἀρεταὶ καὶ παρὰ πολεμίοις ἐνίοτε τυγχάνουσι τιμῆς.

Ὅτι πολλαὶ γυναῖκες καὶ παρθένοι καὶ παῖδες ἐλεύθεροι συνείποντο τοῖς Καπυηνοῖς διὰ τὴν ἀπορίαν τῆς τροφῆς· καὶ γὰρ πόλεμος ἐνίοτε βιάζεται τοὺς κατὰ τὴν

67. 6. συνήθη] Ed. ἀσυνήθη. MAI.
67. 7. δυσχερὲς] Ed. δυσχερῶς. MAI.
67. 8. ἑτοίμως] Male in ed. ὁμοίως. MAI.
67. 12. ἔστι] ἐστιν ed. Rom.

67. 8. Hoc fragmentum, cum aliqua varietate scriptum, habemus etiam in editis fragm. libri XXVI. p. 514; unde cognoscimus iustam eius sedem. MAI.

67. 10. Haud scio an de variis italicarum urbium partibus, modo ad Romanos modo ad Poenos deficientium sermo sit in hoc et sequente fragmento. MAI.

67. 14. Dubitabam loqui auctorem de Magio principe capuano, qui mutare fidem Romanis datam noluit; quemque Hannibal in vincula coniecit, sed interficere non est ausus. Ille autem ad Ptolemaeum tempestate delatus, libertatem a rege ob suam virtutem impetravit. Liv. XXIII. 10. MAI.

67. 17. Adhuc de luxuria Campanorum loquitur auctor; cuius reprehensio fit etiam in extremo fragmento edito libri XXVI. p. 514; [Confer Zonaram IX. 6. Videntur enim potius ipsi Campani pauperiem a Romanis victoribus passi. MAI. in Add.] unde patet, fragmentum hoc vaticanum ex eodem libro esse decerptum.

Et hoescheliana quidem fragmenta libri XXVI. in praedicta fere Campanorum luxuria cessare scimus. Valesiana autem in Wesselingii editione ex libro XXVI. continuantur indistinctis libris usque ad XXXI, in quo photianae ordiuntur eclogae. Iamvero quia vaticanus codex librorum distinctionem neque hoc loco neque in aliis plerisque habet: et quia ego ducibus illis, quos hactenus eram secutus, destituor, equidem cogor vaticana fragmenta a XXVI. libro ad XXXI. conglobata ponere, quod iam feci in excerptis a VII. ad X, nequid arbitratu meo et sine probabili ratione agere viderer. MAI.

εἰρήνην ἐν πολλῇ σεμνότητι ζῶντας ὑπομένειν ἀνάξια τῆς ἡλικίας πάσχοντας.

Ὅτι ἡ τῶν Ῥωμαίων σύγκλητος ὡς ἤκουσε τὴν Κα- 60
πύην περιειλημμένην πανταχόθεν τείχει διπλῷ, νομίζουσα τάχιον ἔσεσθαι τὴν ἅλωσιν ὅμως οὐ διετήρησεν ἀμετάθετον τὴν ἔχθραν, ἀλλὰ διὰ τὴν συγγένειαν ἐψηφίσαντο πρὸ τακτῆς ἡμέρας τοὺς μετατεθεμένους τῶν Καμπανῶν ἀθῴους εἶναι. ἧς δὴ παραπέμψαντες τὴν φιλανθρωπίαν οἱ Καμπανοὶ καὶ τὴν παρ' Ἀννίβου γενομένην βοήθειαν ψυχαγωγούμενοι τότε μετενόησαν ὅταν οὐθὲν ὄφελος ἦν μεταμελεῖσθαι.

III. Ὅτι οἱ Συρακούσιοι διὰ πενίαν ἀποροῦντες τροφῆς μετὰ τὴν ἅλωσιν ἑαυτοὺς ὡμολόγουν εἶναι δούλους, ὅπως πραθέντες τροφῆς μεταλάβωσι παρὰ τῶν ὠνησαμένων. οὕτω τοῖς ἐπταικόσι Συρακουσίοις ἡ τύχη πρὸς τοῖς ἄλλοις ἀκληρήμασι τηλικαύτην ἐπέστησε συμφορὰν ὥςτε ἀντὶ τῆς διδομένης ἐλευθερίας ἑκουσίως αἱρεῖσθαι δουλείαν.

Ὅτι Σκιπίων τοὺς ὁμήρους ἀπολύσας ἐπεδείξατο ὡς πολλάκις ἑνὸς ἀνδρὸς ἀρετὴ προςέταττε συλλήβδην εἰς ἔθνη βασιλεῖς.

Ὅτι Ἰνδιβέλης ὁ Κελτίβηρ συγγνώμης τυχὼν παρὰ Σκιπίωνος καιρὸν εὑρὼν ἐπιτήδειον πάλιν ἐξέκαυσε πόλεμον. οὕτω γὰρ οἱ τοὺς πονηροὺς εὖ ποιοῦντες πρὸς

68. 5. τάχιον] an ταχεῖαν?
68. 8. εἶναι] incipit codicis p. 123.
68. 9. γενομένην] immo γενησομένην.
68. 10. ἦν] ἦσαν ed. Rom. Malim etiam hic quidem ὅτε.
68. 16. ἀκληρήμασι] ἀκληρώμασι ed. Rom.
68. 18. δουλείαν] δουλείας ed. Rom.
68. 24. εὖ ποιοῦντες] εὐποιοῦντες ed. Rom.

68. 1. ἀνάξια τῆς ἡλικίας] Locutio Diodoro familiaris lib. XVI. 55, et alibi. MAI.

68. 11. Lege Appianum bell. han. cap. XXXVII. Livium XXV. 22. MAI.

68. 18. Subiungendum est vaticanum fragmentum valesiano illi p. 569, ubi Marcellus dicitur, corporibus quidem liberis pepercisse post Syracusas captas, sed tamen opes omnes militi diripiendas tribuisse. MAI.

68. 21. Ob huius loci intelligentiam legendus est Polybius X. 34—38, apud quem Scipio maior africanus Hispaniae regulos in fidem recipit, captivos propinquos illis largitur, ipse rex salutatur; et summa foederis egregii est, *ut Hispani Romanos dominos sequantur eorumque iussa facessant.* MAI

68. 24. Polyb. XI. 26. sqq. MAI.

τῷ τὴν χάριν ἀποβαλεῖν ἀγνοοῦσι πολεμίους ἑαυτῶν πολλάκις σωματοποιοῦντες.

61 Ὅτι ὁ Ἀσδρούβας εἰ μὲν καὶ τὴν τύχην ἔσχε συνεπιλαμβανομένην, ὁμολογουμένως οὐκ ἂν ἠδυνήθησαν οἱ Ῥωμαῖοι πρὸς τοῦτον ἅμα καὶ πρὸς Ἀννίβαν διαγωνίσασθαι. διόπερ χρὴ τὴν ἀρετὴν τἀνδρὸς ἐξετάζειν οὐκ ἐκ τῶν ἀποτελεσμάτων ἀλλ' ἐκ τῆς ἐπιβολῆς καὶ τόλμης. τούτων μὲν γὰρ συμβαίνει τοὺς πράττοντας εἶναι κυρίους, ἐκείνων δὲ τὴν τύχην ἔχειν ἐξουσίαν.

IV. Ὅτι Νάβις ὁ τῶν Λακεδαιμονίων τύραννος πολλὰς τιμωρίας ἐπενόησε πρὸς τοὺς πολίτας, νομίζων τῇ τῆς πατρίδος ταπεινώσει τὴν ἰδίαν αὐξήσειν δυναστείαν. ἀνὴρ γὰρ οἶμαι πονηρὸς τυχὼν ἐξουσίας οὐκ εἴωθε φέρειν τὴν εὐτυχίαν κατ' ἄνθρωπον.

Ὧν γὰρ μέγιστος ἱερεὺς ἠναγκάζετο μὴ μακρὰν τῆς Ῥώμης ἀποσπᾶσθαι διὰ τὴν τῶν ἱερῶν ἐπιμέλειαν.

Ὅτι μετὰ τὸ ψηφισθῆναι τὰ κατὰ Πλημήνιον φιλοφρονοῦντες τοὺς Λοκροὺς οἱ τὰ πολλὰ τῶν ἀναθημάτων ἡρπακότες καὶ θεωροῦντες τὴν τῶν χιλιάρχων καὶ τοῦ Πλημηνίου τιμωρίαν ἐπὶ δεισιδαιμονίαν ἐνέπιπτον. οὕτως ὁ συνειδώς τι φαῦλον ἑαυτῷ σιωπωμένην ἀναδέχεται τιμωρίαν, κἂν τύχῃ διαλεληθὼς τοὺς ἄλλους. διὸ ποινηλατούμενοι τὰς ψυχὰς τὸ θεῖον ἐξιλασκόμενοι ἐῤῥίπτουν τὰ χρήματα.

69. 20. ἐπὶ] usitatius εἰς. Mox δυσιδαιμονίαν ed. Rom.

69. 2. Ab Isocrate ad Demonicum haec sumit fortasse Diodorus. Sed nos meliora Christus Deus docet Matth. V. 45. MAI.

69. 6. Sententiam hanc Diodori expilat Appianus bell. han. cap. LII; ex quo etiam, nec non a Livio XXVII, 29, cognoscimus quantis copiis Hasdrubal suppetias fratri ferret. MAI.

69. 9. Hasdrubalis virtus mactatur laudibus a Diodoro etiam in fragm. ed. p. 569, quem locum nunc cumulat vaticanum excerptum. Imitatus est autem in laudando Hasdrubale Diodorus Polybium XI. 2, ubi de illius obitu in Italia pugnantis cum Romanis; quam rem latine narrat Livius XXVII. 49. MAI.

69. 14. Nabidis crudelitas memoratur aliis verbis etiam in fragmentis Diodori editis p. 570. MAI.

69. 16. Quis fuerit heic pontifex maximus, quaerendum superest. Sed ad morem quod adtinet, Livius epitom. lib. LIX. ait: *P. Licinius Crassus consul, quum idem pontifex maximus esset (quod numquam antea factum erat) extra Italiam profectus, proelio victus et occisus est.* MAI. Plutarchus Ti. Gracch. c. 21. ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος ταῖς μεγίσταις ἱερουργίαις· ἦν γὰρ ὁ μέγιστος καὶ πρῶτος τῶν ἱερέων.

69. 24. Pleminius qui locrense Proserpinae fanum spoliaverat, Romae damnatus in vinculis obiit. Decrevit insuper senatus ut eius bona consecrarentur Proserpinae; et nisi quisque ablata restitueret,

Ὅτι τὸ ψεῦδος ἐν τοῖς οἰκείοις τιθέμενον καιροῖς ἐνίοτε γίνεται μεγάλων ἀγαθῶν αἴτιον. 62

V. *Ὅτι Σκιπίων τὸν Σύφακα τὸν βασιλέα αἰχμάλωτον λαβὼν καὶ δεδεμένον λύσας φιλανθρώπως ὡμίλει αὐτῷ· ᾤετο γὰρ δεῖν τὴν ἐπὶ τοῦ πολέμου ἔχθραν μέχρι τοῦ νικᾶν φυλάττειν, εἰς δὲ τύχην αἰχμάλωτον ἀνδρὸς βασιλέως γεγονότος μηδὲν ἐξαμαρτάνειν ἄνθρωπον ὄντα· ἐφορᾷ γὰρ ὡς ἔοικε τὸν ἀνθρώπινον βίον νέμεσίς τις θεοῦ, ἢ τοὺς ὑπὲρ ἄνθρωπον φρονοῦντας ταχὺ τῆς ἰδίας ἀσεβείας ὑπομιμνήσκει. διὸ καὶ τὸν Σκιπίωνα τίς οὐκ ἂν ἐπαινέσειε θεωρῶν πρὸς τὸν κατὰ τῶν πολεμίων φόβον καταπληκτικὸν γενόμενον, ὑπὸ δὲ τοῦ πρὸς τοὺς ἠτυχηκότας ἐλέους τὴν ψυχὴν ἡττώμενον; ὡς ἐπὶ πολὺ γὰρ εἰώθασιν οἱ πρὸς τοὺς ἀντιταττομένους φοβεροὶ πρὸς τοὺς ὑποπεσόντας ὑπάρχειν μέτριοι. διὸ καὶ ταχὺ τοῦ Σύφακος ὁ Σκιπίων τῆς εἰς αὐτὸν ἐπιεικείας ἐκομίσατο χάριν.*

Ὅτι οἱ Καρχηδόνιοι σιτοδείας ἐμπεσούσης οἱ καχέκται τῶν πολιτῶν ἐπιθυμοῦντες λῦσαι τὴν εἰρήνην προετρέψαντο τὸν δῆμον ἐπιπλεῦσαι ταῖς ναυσὶ καὶ τὸν σῖτον εἰς λιμένα κομίσαι. τῆς δὲ γερουσίας οὐκ ἐώσης λῦσαι τὰς συνθήκας οὐδεὶς ἐπήκουσε· τὴν γὰρ κοιλίαν ἔφασκον οὐκ ἔχειν ὦτα.

70. 3. *ὅτι*] incipit codicis p. 124.
70 5. *αὐτῷ*] *αὐτόν* ed. Rom.
70. 10. *ἀσεβείας*] malim *ἀσθενείας*: conf. Diod. XIII. p. 700. 54.
70. 18. *οἱ Καρχηδόνιοι*] immo *τοῖς Καρχηδονίοις*.
70. 18. *καχέκται*] *καχεκταὶ* ed. Rom.

capitale ut esset. Haec in editis eclogis p. 570. narrantur, quibus nunc accedit vatic. fragmentum. A Pyrrho quoque eiusdem templi patratam direptionem, tum ablatarum rerum post poenam restitutionem narrat Dionysius halic. ed. Mediol. XIX. 9. 10. MAI.

70. 2. Diodorus ethnicus sumit hoc fortasse a Platone, unde etiam Origenes apud Hieronymum contra Ruf. I. 18, qui locus legendus est. Et quidem nota est aliquot etiam ecclesiae christianae patrum super innocuo mendacio controversia, quae demum loco veritati cessit. MAI.

70. 3. Syphacis historia subtexitur in fragmentis editis p. 571. narrationi de Pleminio. Eundem igitur ordinem fragmenta nostra tenent, quamquam re et verbis a parte edita differunt. MAI.

70, 17. Intelligit fortasse Diodorus operam a Syphace praestitam in perdenda Sophonisba, Romanorum femina inimicissima. Lege fragmenta edita loc. cit. MAI.

70. 21. Lege Appianum pun. cap. XXXIV. MAI.

70. 23. Exin repetitur in codice locus praedictus, vix paucis verbis mutatis: *Ὅτι τῶν καχεκτῶν ἐπιθυμούντων λῦσαι τὴν εἰρήνην, καὶ τῆς γερουσίας οὐκ ἐώσης λῦσαι τὰς συνθήκας, οὐδεὶς ἐπή-*

τὸ κακὸν ἀγαθοῦ παρείχετο φαντασίαν.

63 Ὅτι τῶν Καρχηδονίων προημαρτηκότων εἰς Ῥωμαίους, ὑπὸ χειμῶνος δὲ ἀναχθέντων ποτὲ πρὸς Σκιπίωνα καὶ πάντων βοώντων ἀμύνασθαι τοὺς ἀσεβεῖς ὁ Σκιπίων οὐκ ἔφη δεῖν πράττειν ἃ τοῖς Καρχηδονίοις ἐγκαλοῦσιν.

VI. Ὅτι τὰ μὲν καλὰ πεῖσαι πάντων οἶμαι δυσχερέστατόν ἐστιν, ὁ δὲ πρὸς χάριν λόγος δεινὸς παραστῆσαι φαντασίαν συμφέροντος, κἂν ἐπ' ὀλέθρῳ λέγηται τῶν βουλευομένων.

ἀλλ' οὐ καλὸν τοῖς μὲν ὅπλοις ἅπαντας νικᾶν, ὑπὸ δὲ τῆς πρὸς ἀκληροῦντας ὀργῆς ἡττᾶσθαι, καὶ πικρότατα μισοῦντας τοὺς ὑπὲρ ἄνθρωπον φρονοῦντας ἐν ταῖς εὐτυχίαις αὐτοὺς ταῦτα πράττειν ἃ τοῖς ἄλλοις ἐγκαλοῦντες τυγχάνουσι. τότε γὰρ ἀληθὴς κλῆρός ἐστιν ἡ δόξα εὐτυχηκότων ὅταν ὁ κρατῶν τὴν εὐτυχίαν φέρῃ κατ' ἄνθρωπον. ἐπιφθέγγεται γὰρ ἕκαστος ἐπὶ τῇ τουτων μνείᾳ διότι τῆς νίκης ὑπάρχουσιν ἄξιοι, τοῖς δὲ ἐπιλαθομένοις τῆς ἀνθρωπίνης φύσεως ὁ φθόνος ἀντικάθηται λυμαινόμενος τὴν τῶν εὐτυχούντων δόξαν. οὐδὲ γάρ ἐστι μέγα τὸν ἑκουσίως ὑποπίπτοντα φονεύειν οὐδὲ θαυμαστὸν ἀφανίσαι τὸν τῶν ἠτυχηκότων βίον. οὐκ ἀλόγως

71. 17. γὰρ] incipit codicis p. 331.

71. 19. ἀντικάθηται λυμαινόμενος] ἀντικάθητος λοιμαινόμενος ed. Rom.

71. 21. μέγα] μετὰ codex, quod in μήτε mutavit editor Romanus.

κονσε· τὴν κοιλίαν ἔφασκον οὐκ ἔχειν ὦτα. Ex hoc aliisque locis liquido apparet, non unum fuisse excerptorum auctorem, sed plures; quorum diversi labores postea collecti παλιλλογεῖν interdum visi sunt, ut in ipso iustinianeo iure accidit. MAI.

71. 1. Sic praeclare Cicero de leg. I. 17: *imitatrix boni voluptas, malorum autem mater omnium.* MAI.

71. 6. Legesis fragmenta Diodori edita p. 572; Polybium XV. 2. 4; Appianum pun. XXXV. Liv. XXX. 25.

71. 11. Quae in his excerptis capp. VI—X, continentur sententiae, eas fere omnes pertinere arbitror tum ad orationes quae ab oratoribus punicis in senatu romano et apud Scipionem maiorem habitae fuerunt, pacem petentibus quo tempore Carthago arcta obsidione premebatur, tum ad varias senatorum consultationes, quorum alii misericordiam alii severitatem suadebant. Lege Livium XXX. 22. sq. 36. 42, et Appianum pun. XXXI. Et quidem hae politicae ethicaeque sententiae pars prope omnium pulcherrima constantiniani operis sunt. MAI.

71. 12. Verba sunt hominis carthaginiensis, vel certe eorum parti faventis. MAI.

γὰρ οἱ τοιοῦτοι τυγχάνουσιν ἀδοξίας, ὅταν τὰς κοινὰς τῶν ἀκληρούντων καταφυγὰς ἀναιρῶσι τῆς ἀνθρωπίνης ἀσθενείας ἐπιλανθανόμενοι.

VII. Ὅτι προτερεῖ τοῖς ἀνθρώποις τῆς μὲν τιμωρίας εὐεργεσία, τῆς δὲ ὠμότητος ἡ πρὸς τοὺς ἐπταικότας ἐπιείκεια.

Ὅτι ὅσῳ τις εὐροοῦσαν ἔχει τὴν τύχην τοσούτῳ 64 μᾶλλον εὐλαβεῖσθαι χρὴ τὴν τὸν ἀνθρώπινον βίον ἐπισκοποῦσαν νέμεσιν.

Ὅτι οὐδὲν παρὰ ἀνθρώποις οὔτε κακὸν οὔτε ἀγαθὸν ἑστηκυῖαν ἔχει τὴν τάξιν τῆς τύχης ὥςπερ ἐπίτηδες πάντα μετακινούσης. διὸ καὶ προςήκει τὸ πολὺ φρόνημα κατατιθεμένους ἐν τοῖς ἀλλοτρίοις ἀκληρήμασι τὸν ἴδιον ἐξασφαλίζεσθαι βίον· ὁ γὰρ τοῖς ἐπταικόσιν ἐπιεικῶς χρησάμενος δικαιοτάτης ἂν ἐν ταῖς τοῦ βίου μεταβολαῖς τύχοι πολυωρίας. παρὰ μὲν οὖν τοῖς ἐκτὸς εἴωθε τοῖς τοιούτοις ἀείμνηστος ἐπακολουθεῖν ἔπαινος, παρὰ δὲ τοῖς εὖ παθοῦσιν ἡ κατ' ἀξίαν τῆς εὐεργεσίας φυλάττεσθαι χάρις. καὶ γὰρ ἂν ἀλλοτριώτατός τις ἐὰν ἐλέους τύχῃ, μεταβάλλει διὰ τὴν εὐεργεσίαν καὶ ταχὺ γίνεται φίλος ἑαυτῷ μεμφόμενος.

VIII. Ὅτι δεῖ παρὰ τοῖς εὖ φρονοῦσι τὰς μὲν φιλίας ἀθανάτους ὑπάρχειν, τὰς δὲ ἔχθρας εἶναι θνητάς. οὕτω γὰρ μάλιστα τοὺς μὲν εὐνοοῦντας συμβήσεσθαι πλείστους γενέσθαι, τοὺς δὲ ἀλλοτρίως διακειμένους ἐλάττους.

Ὅτι τοὺς ἡγεῖσθαι βουλομένους τῶν ἄλλων οὐχ οὕτω τοῖς ἄλλοις ὑπερέχειν ἀναγκαῖον ὡς ἐπιεικείᾳ καὶ μετριότητι δεῖ νικᾶν ἅπαντας. ὁ μὲν γὰρ ἐκ τοῦ κρατεῖσθαι φόβος μισεῖσθαι ποιεῖ τοὺς κρατοῦντας, ἡ δὲ

72. 2. ἀναιρῶσι] ἀναίρωσι ed. Rom.
72. 11. ἑστηκυῖαν] ἑστηκείαν ed. Rom.
72. 13. ἀκληρήμασι] ἀκληρώμασι ed. Rom.
72. 17. τοιούτοις] τοσούτοις ed. Rom.
72. 18. εὖ παθοῦσιν] εὐπαθοῦσιν ed. Rom.
72. 22. εὖ φρονοῦσι] εὐφρονοῦσι ed. Rom.

72. 9. De victoria modeste ferenda, de superbia in prosperis vitanda, de fortunae varietate, legatur Diodorus XIV. 76; et quidem praeclara illa Nicolai syracusani oratio apud eundem XIII. 22 sqq. MAI.

72. 14. Eandem sententiam urget Diodorus etiam in fragmentis lib. XXI. p. 494; et quidem derivatam fere ex Polybio I. 85. MAI.

72. 26. Conspirat fere Dionysius halic. in fragm. ed. Mediol. XIV. 8. Immo vero magis Photius in LXXIX. monito, ex iis quae scribit in πολιτικωτάτῃ lectuque dignissima ad Michaëlem Bulgariae principem epistula. MAI.

εἰς τοὺς ἡττωμένους [τοῦ κρατεῖσθαι] εὐγνωμοσύνη τῆς εὐνοίας αἰτία γινομένη βεβαίως συνέξει τὰς ἡγεμονίας. διόπερ ἐφ' ὅσον προνοούμεθα τῆς πατρίδος ἐπὶ τοσοῦτον εὐλαβητέον ἀνήκεστόν τι καὶ σκληρὸν πρᾶξαι κατὰ τῶν ἑαυτοὺς ἑκουσίως παραδιδόντων. πᾶς γὰρ τοὺς μὲν ὑπερβαλλούσαις συμφοραῖς περιπεσόντας ἐλεεῖ, κἂν μηδὲν προσήκωσι, τοὺς δὲ ὑπερηφάνως ταῖς εὐτυχίαις χρωμένους μισεῖ, κἂν τύχωσιν ὄντες σύμμαχοι· ἀνάγει 65 γὰρ οἶμαι τὸ πραχθὲν ἕκαστος πρὸς ἑαυτὸν καὶ συναγανακτεῖ τοῖς ἠκληρηκόσι φθονῶν ταῖς τῶν κατορθωσάντων εὐπραξίαις.

IX. "Ὅτι ὅταν πόλις ἐπισημοτάτη πασῶν οὕτως ἀνηλεῶς ἀναρπασθῇ, τότε δὴ καὶ μᾶλλον ἡ περὶ τούτων ὑπόληψις διὰ πάσης ἔρχεται τῆς οἰκουμένης. οὐ γὰρ οὕτω τοὺς εὖ πράξαντας ἅπαντες ἐπαινοῦσιν ὡς τοὺς ἀνημέρως χρησαμένους τοῖς ὑποπεσοῦσιν ὁμολογουμένως μισοῦσιν.

"Ὅτι τὴν διδομένην εὐτυχίαν παρὰ θεοῦ μὴ φέρειν ἀνθρωπίνως πολλῶν κακῶν εἴωθεν αἴτιον γενέσθαι.

"Ὅτι τοῖς τὴν τύχην μὴ φέρουσι κατ' ἄνθρωπον ἱκανὴ πᾶσα πρόφασις ἐπὶ τὸ χεῖρον μεταβαλεῖν. ὁρᾶτε οὖν μήποτε τοὺς ἀπεγνωσμένους ἄνδρας ἀγαθοὺς γενέσθαι ποιήσωμεν. καὶ γὰρ τὰ δειλότατα τῶν ζώων ἔχοντα μὲν ἀναστροφὴν φεύγει, συγκλεισθέντα δὲ εἰς στενὸν τόπον ἀπίστως ἀγωνίζεται, καὶ Καρχηδόνιοι τὰς μὲν ἐλπίδας τῆς σωτηρίας ἔχοντες ὑποχωροῦσιν, ἀπογνόντες δὲ πᾶν τὸ δεινὸν ὑπομένουσιν ἐν ταῖς μάχαις. ὅταν γὰρ καὶ φεύγουσι καὶ μαχομένοις ὑποκείμενον ᾖ τελευτᾶν, ὁ μετὰ δόξης θάνατος τοῦ μετ' αἰσχύνης ζῆν αἱρετώτερος κριθήσεται παρ' αὐτοῖς.

"Ὅτι ὁ βίος πολλὰ ἔχει παράδοξα. δυστυχοῦντας μὲν οὖν παραβάλλεσθαι χρὴ καὶ τοῖς μεγίστοις κινδύνοις θηρᾶσθαι τὴν παραβολήν. καλὸν δὲ τὴν τύχην εὐθὺς ἀνέχοντας αὐτοὺς εἰς τὸ παράβολον διδόναι.

73. 1. τοῦ κρατεῖσθαι] haec suspecta.
73. 2. συνέξει] cum ποιεῖ melius sociatur συνέχει.
73. 6. περιπεσόντας] incipit codicis p. 332.
73. 10. ἠκληρηκόσι] ἠκληρηκῶσι ed. Rom.
73. 15. εὖ πράξαντας] εὐπράξαντας ed. Rom., quae et οὕτως.
73. 34. αὐτοὺς] αὑτοὺς ed. Rom.

73, 13. Intelligitur Carthago iam iam ab hoste romano diripienda. MAI.

73, 23. Rursus cognoscimus verba haec esse romani hominis in curia Carthaginiensibus patrocinantis. MAI.

Ὅτι οὐδεὶς ἡγεῖσθαι δυνάμεως τῶν ἐκτὸς δυναστείας λαχὼν ἑτέροις ἑκουσίως ἐκχωρεῖ.

X. Ὅτι ἀτυχίαν ἀδικίας πλεῖστον ἡγοῦμαι διαφέρειν 66 καὶ δεῖν ἑκατέρῳ τούτων οἰκείως προςφέρεσθαι· ταῦτα γάρ ἐστιν εὖ βουλευομένων ἀνδρῶν. ὁ μὲν οὖν πταίσας ἐν τῷ μηδὲν ἁμαρτεῖν μέγα δικαίως ἂν καταφύγοι πρὸς τὸν κοινὸν τοῖς ἀκληροῦσιν ἔλεον, ὁ δὲ μέγιστα ἀσεβήσας καὶ τὸ δὴ λεγόμενον ἄῤῥητα πρὸς ὕβριν καὶ ὠμότητα πράξας αὐτὸς αὑτὸν ἀπέστησε τοιαύτης φιλανθρωπίας· οὐ γὰρ δυνατὸν εἰς ἑτέρους ὠμὸν γενόμενον τὸν ἐν μέρει πταίσαντα τυγχάνειν ἐλέους, οὐδὲ τὸν οἶκτον ἐξ ἀνθρώπων τὸ καθ' αὑτὸν μέρος ἄραντα καταφεύγειν ἐπὶ τὴν τῶν ἄλλων ἐπιείκειαν. δίκαιον γάρ ἐστιν ὃν καθ' ἑτέρων τις νόμον ἔθηκε τούτῳ κεχρῆσθαι.

Ὅτι ὁ τοὺς κοινοὺς ἐχθροὺς ὑπὲρ ἁπάντων τιμωρησάμενος δῆλον ὡς κοινὸς ἂν εὐεργέτης νομίζοιτο, καὶ καθάπερ οἱ τὰ δεινότερα τῶν θηρίων ἀναιροῦντες ὡς εὖ ποιοῦντες τὸν κοινὸν βίον ἐπαίνου τυγχάνουσιν, οὕτως οἱ τὴν Καρχηδονίων ὠμότητα καὶ τὸ θηριῶδες τῆς ἀνθρωπότητος κολάσαντες ὁμολογουμένως τεύξονται τῆς μεγίστης δόξης.

Ὅτι τότε ἕκαστος ἀνδρείως ὑπομένει τὸν κίνδυνον ὅταν τοῦ νικᾶν ἐλπὶς ἐστιν ὑποκειμένη· ὁ δὲ προειδὼς ἑαυτὸν ἡττηθησόμενον ἐν τῷ δρασμῷ καὶ φυγῇ τὴν σωτηρίαν ἔχει κειμένην.

74. 1. **τῶν ἐκτὸς δυναστείας**] hoc cum **οὐδεὶς** coniungendum erat.
74. 5. **βουλευομένων**] **βουλομένων** ed. Rom.
74. 9. **αὑτὸν**] **αὐτὸν** ed. Rom.
74. 9. **ἀπέστησε**] malim *ἀπεστέρησε*.
74. 9. **φιλανθρωπίας**] **φιλανθρωπείας** ed. Rom.
74. 12. **καθ' αὑτὸν**] **καθ' αὐτὸν** ed. Rom.
74. 14. **τις**] incipit codicis p. 211.
74. 14. **νόμον**] **τὸν νόμον** ed. Rom.: correctum consentiente Diodoro XIII. p. 565. 7.
74. 15. **τιμωρησάμενος**] **τιμωρησόμενος** ed. Rom.
74. 17. **δεινότερα**] praestat *δεινότατα*.
74. 18. **εὖ ποιοῦντες**] **εὐποιοῦντες** ed. Rom., quae et **τυγχάνουσι**.

74. 2. Haud scio an sermo sit de Hannibale, qui verebatur ne inter pacis conditiones imperium sibi abrogaretur. Immo vero timuit Hannibal ne Romanis dederetur. Vel potius intelligitur Scipio, qui nisi pacem statim faceret, successori gloriam finiendi belli relicturus erat. Liv. XXX. 36. MAI.

74. 4. Verba sunt contradicentia priori orationi, et ultionem de Poenis suadentia, propter saevitiam, quam hi in alios exercuissent. MAI.

XI. "Οτι οὐ μόνον ἄν τις ἐπὶ τῶν ἰδιωτικῶν συμβολαίων εὕροι τοὺς πονηρευομένους ταῖς ἐκ τῶν νόμων ζημίαις περιπίπτοντας ἀλλὰ καὶ τῶν βασιλέων τοὺς ἀδίκοις πράγμασιν ἐπιβαλλομένους παρὰ τοῦ δαιμονίου τιμωρίας τυγχάνοντας. ὥςπερ γὰρ τοῖς ἐν δημοκρατίᾳ πο-
67 λιτευομένοις ὁ νόμος, οὕτω τοῖς ἐν ἐξουσίαις ὁ θεὸς βραβευτὴς γίνεται τῶν πραττομένων, καὶ τοῖς μὲν τὴν ἀρετὴν καταδιώξασιν οἰκεῖα τῆς ἀρετῆς ἔπαθλα ἐπιτίθησι, τοῖς δὲ τὴν πλεονεξίαν ἤ τινα ἄλλην κακίαν ἐπανελομένοις οὐκ εἰς μακρὰν τὴν προςήκουσαν ἐφίστησι τιμωρίαν.

"Οτι ὁ Μάρκος Αἰμίλιος ἀποπλεύσας εἰς"Αβυδον πρὸς Φίλιππον τὰ δεδογμένα τῇ συγκλήτῳ περὶ τῶν συμμάχων ἀπήγγειλεν αὐτῷ. ὁ δὲ ἔφησεν, ἐὰν μὲν ἐμμένωσι ταῖς ὁμολογίαις Ῥωμαῖοι, ποιήσειν αὐτοὺς ὀρθῶς, ἐὰν δὲ ἐπεμβαίνωσι, τοὺς θεοὺς ἐπιμαρτυρόμενος ἀμύνεσθαι τοὺς ἀδίκου πολέμου κατάρχοντας.

"Οτι ὁ Φίλιππος συννοήσας τὴν ἀθυμίαν τῶν στρατιωτῶν τούτους παραθαρσύνων ἐδίδασκεν ὅτι τοῖς μὲν νικῶσιν οὐδὲν τούτων γίνεται, τοῖς δὲ κατὰ τὴν ἧτταν ἀπολλυμένοις οὐ διαφέρειν ὑπὸ πηλίκων ἂν τραυμάτων ἀποθάνωσι.

"Οτι ὡς ἐπὶ πολὺ εἰώθασιν οἱ τοῖς τρόποις φαῦλοι τοὺς συναναστρεφομένους ὁμοίους ἑαυτοῖς συγκατασκευάζειν.

75. 2. εὕροι] εὕροιτο ed. Rom.

75. 5. Exacto de carthaginiensibus rebus sermone, videtur nunc Diodorus loqui de Philippo patre Persei, Macedoniae rege, qui bella multa gessit iniusta, atque ipsis Romanis nulla re provocatus, ut ait Appianus maced. cap. I, iniurius fuit icto sponte foedere cum Hannibale. Verum hoc loco respicit, ut puto, auctor horrendum Abydi excidium spectante Philippo patratum, de quo lege Polybium XVI. 34; et Livium XXXI. 19, qui naviter Polybium more suo expilat. MAI.

75. 7. Legem quidem liberis populis, sed Deum regibus moderari operumque mercedem reddere, censet Diodorus. Ergo is certe sociale foedus, ut dicitur, non agnoscebat, quod tot iamdiu demagogi usque ad raucam ravim clamitant. MAI.

75. 12. Livius XXXI. 18. MAI.

75. 13. Senatus consultum erat, ne rex Graecos populi romani socios bello vexaret. Polyb. XVI. 34. MAI.

75. 15. Intelligitur prima pax inter Romanos Philippumque olim composita. App. maced. cap. II.

75. 25. Loquitur Diodorus de Philippo qui pro diversis familiaribus atque consiliariis quibus usus est, bonus vel malus apparuit. Lege Polyb. V. 12. VII. 13; Diodor. fragm. ed. p. 572. 573. MAI.

XII. *Ὅτι τῶν Ἠπειρωτῶν πρέσβεις πεμψάντων πρὸς Φίλιππον καὶ Φλαμίνιον Φλαμίνιος μὲν ᾤετο δεῖν τὸν Φίλιππον ἐκχωρεῖν ἁπάσης τῆς Ἑλλάδος, ὅπως ἀφρούρητος ᾖ καὶ αὐτόνομος, ἀποδοῦναι δὲ καὶ τοῖς παρεσπονδημένοις τὰς βλάβας εὐδοκιμουμένως. ὁ δὲ ἔφη δεῖν τὰ μὲν παρὰ τοῦ πατρὸς αὐτῷ καταλελειμμένα βεβαίως ἔχειν, ὅσα δὲ τυγχάνει προσηγμένος ἐκ τούτων ἐξάγειν τὰς φρουράς, περὶ δὲ τῆς βλάβης κρίνεσθαι. εἰπόντος δὲ πρὸς ταῦτα Φλαμινίου μὴ δεῖσθαι κρίσεως, δεῖν δὲ αὐτὸν* 68 *τοὺς πεπονθότας πείθειν, καὶ διότι παρὰ τῆς βουλῆς ἐντολὰς ἔχει ταύτας ὅπως μὴ μέρος τῆς Ἑλλάδος ἀλλὰ πᾶσαν αὐτὴν ἐλευθεροῦν, ὑπολαβὼν ὁ Φίλιππος Καὶ τί τούτου βαρύτερόν φησι προσετάξαν ἄν μοι πολέμῳ κρατήσαντες; καὶ ταῦτ᾽ εἰπὼν ἐχωρίσθη διωργισμένος.*

XIII. *Ὅτι ὄντος τοῦ Ἀντιόχου τοῦ τῆς Ἀσίας βασιλέως περὶ τὸν τῆς Λυσιμαχίας πόλεως ἀνοικισμὸν παρεγενήθησαν οἱ παρὰ Φλαμινίου πρέσβεις. εἰςαχθέντες δὲ εἰς τὸ συνέδριον παρεκάλουν Ἀντίοχον ἐκχωρῆσαι τῶν ὑπὸ Πτολεμαῖον γεγενημένων πόλεων, καὶ καθόλου θαυμάζειν ἔφασαν τί βουλόμενος πεζικάς τε καὶ ναυμαχικὰς συνάγει δυνάμεις καὶ τί διανοούμενος διαβέβηκεν εἰς τὴν Εὐρώπην, εἰ μὴ Ῥωμαίοις ἐπιβάλλεται πολεμεῖν. ὁ δὲ Ἀντίοχος τοῖς εἰρημένοις ἀντιλέγων ἔφη θαυμάζειν πῶς Ῥωμαῖοι τῆς Ἀσίας ἀντιποιοῦνται τῶν κατὰ τὴν Ἰταλίαν αὐτοῦ μὴ πολυπραγμονοῦντος. Λυσιμαχίαν δὲ ἀνοικίζων οὔτε Ῥωμαῖον οὔτε ἄλλον οὐδένα· τὰ δὲ πρὸς Πτολεμαῖον αὐτὸς φροντίζειν ὅπως μηδεμιᾶς ἀμφισβητή-*

76. 5. ὁ] incipit codicis p. 212.
76. 7. *προςηγμένος*] *προηγμένος* ed. Rom.
76. 13 *φησι*] *φησιν* ed. Rom.
76. 17. *ἀνοικισμὸν*] *ἀνῳκισμὸν* ed. Rom.
76. 26. *Λυσιμαχίαν*] Cod. *Λυσίμαχος*. MAI.
76. 27. *οὐδένα*] Ita in cod. sine verbo. MAI., qui haec interpretatus *βλάπτειν* addidit.

76. 2. Liv. XXXII. 10. MAI.

76. 15. Lege Livium XXXII. 10. qui cum Diodoro consentit. Aliud vero est colloquium illud Philippi cum Flaminio, quod scribit Polybius XVII. 1. sqq. MAI.

76. 18. Haec legatio Romanorum apud Lysimachiam commemoratur a Diodoro in eclogis ed. p. 619. MAI.

76. 26. *τῶν κατὰ τὴν Ἰταλίαν αὐτοῦ μὴ πολυπραγμονοῦντος*] **Diodorus XV. 51.** *οὔτ᾽ αὐτοὶ πολυπραγμονοῦσι τῶν κατὰ τὴν Λακωνικὴν οὔτ᾽ ἐκείνοις ἅπτεσθαι προςήκειν τῆς Βοιωτίας.* **Ac XX. 54. quoque,** *οὐ πολυπραγμονούσης τι τῶν παρ᾽ ἀνθρώποις δσίων*, **liber unus enclitica caret.**

σεως τυγχάνῃ· δώσειν γὰρ αὐτῷ τὴν θυγατέρα γυναῖκα· καὶ τούτων ῥηθέντων τῶν λόγων οἱ Ῥωμαῖοι οὐκ εὐδοκοῦντες ἐχωρίσθησαν.

XIV. Ὅτι εἰσὶν ἐν τοῖς πολέμοις αἱ τῶν χρημάτων παρασκευαί, καθάπερ ἡ κοινὴ παροιμία φησίν, ἑταῖραι τῶν πράξεων· ὁ γὰρ τούτων εὐπορῶν οὐκ ἀπορεῖ τῶν μάχεσθαι δυναμένων ἀνδρῶν. οἱ γὰρ Καρχηδόνιοι προσφάτως Ῥωμαίους εἰς τοὺς ἐσχάτους κινδύνους ἤγαγον
69 οὐ πολιτικοῖς στρατιώταις τὰς τηλικαύτας παρατάξεις νικῶντες ἀλλὰ τῷ τῶν μισθοφόρων πλήθει. ἔστι γὰρ τὸ πλῆθος τῆς ξενικῆς δυνάμεως εὐχρηστότατον μὲν τοῖς ἔχουσι, φοβερώτατον δὲ τοῖς πολεμίοις· οἱ μὲν γὰρ ὀλίγου χρήματος ἀθροίζουσι τοὺς ὑπὲρ αὐτῶν κινδυνεύοντας, οἱ δὲ κἂν νικήσωσι, οὐδὲν ἧττον ἄλλους ἔχουσιν ἀνταγωνιστὰς ἐξ ἑτοίμου. ἐπὶ μὲν γὰρ τῶν πολιτικῶν δυνάμεων ὁ καταγωνισθεὶς ἅπαξ τοῖς ὅλοις ἔπταικεν, ἐπὶ δὲ τῶν ξενικῶν ὁσάκις ἂν ἡττηθῶσιν, οὐδὲν ἧττον ἀκεραίους ἔχουσι τὰς δυνάμεις μέχρι ἂν χρημάτων εὐπορῶσιν. Ῥωμαῖοι δὲ οὔτε μισθοφόρους εἰώθασιν ἔχειν οὔτε χρημάτων εὐποροῦσιν.

XV. Ὅτι εἰώθασιν ὡς ἐπίπαν οἱ στρατιῶται τῶν αὐτῶν τοῖς ἀφηγουμένοις μιμηταὶ γενέσθαι.

Ὁ δὲ Ἀντίοχος ταχὺ τῆς ἰδίας ἀνοίας τἀπίχειρα κομισάμενος μετὰ συμφορῶν μεγάλων ἔμαθε σωφρονεῖν ἐν ταῖς εὐπραξίαις.

77. 4. ὅτι] ὅτε ed. Rom.
77. 5. παροιμία] Cod. παῤῥησία. MAI.
77. 10. ἔστι] ἐστὶν ed. Rom.
77. 17. ἐπὶ] incipit codicis p. 295.
77. 24. ἔμαθε] ἔμαθεν ed. Rom.

77. 2. Eusebius ed. Mediol. circa annum Abrah. MDCCCXXV. scribit: *Antiochus Ptolemaco reconciliatus, paccm cum co composuit, cidemque Cleopatram filiam suam in matrimonio collocavit, concessis dotis nomine Syria* (dic *Coelesyria*) *Phoenicia, Samaria atque Iudaea.* MAI.

77. 13. χρήματος] Vide ad Diodor. XIII. p. 629. 69.

77. 19. Vix in summis periculis servos ad pileum vocatos Romani armaverunt. MAI.

77. 20. Romanae urbis veterem atque hereditariam paupertatem, neque ad macedonicam Persei gazam in aerarium illatam, fatetur Valerius Max. IV. 3, 8. Vere, ut arbitror; nam nec ager numero cultorum ob pestilentem aërem abundabat; neque pretiosi metalli ullae erant fodinae; neque mercaturam, saltem maritimam et satis utilem, exercebant Romani. MAI.

Ὅτι ὁ Ἀντίοχος πρὸς τὰ παράλογα τῆς τύχης ἔκρινε συμφέρειν ἀποδοῦναι τῷ Σκιπίωνι τὸν υἱόν, καὶ τοῦτον ἀπέστειλε κοσμήσας πολυτελέσι κατασκευαῖς.

Ὅτι Φίλιππος ὠνείδιζε τοῖς Θετταλοῖς ὡς τῆς ἐλευθερίας ἀνελπίστως διὰ Ῥωμαίων κυριεύσαντες λοιδοροῦσι τοὺς προγεγονότας κυρίους, οὐκ εἰδότες ὅτι οὔπω πᾶς αὐτοῖς ὁ ἥλιος δέδυκε. τούτου δὲ τοῦ λόγου ῥιφέντος ὑπόνοια τοῖς ἀκούουσιν εἰσέπεσεν ὡς Φιλίππου διαπολεμήσοντος πρὸς Ῥωμαίους, καὶ παροξυνθέντες ἔκριναν μηδεμίαν πόλιν τῶν κατὰ Μακεδονίαν οὖσαν ἔχειν Φίλιππον.

XVI. Ὅτι ὁ Σκιπίων διὰ τὸ μέγεθος τῶν πράξεων 70
βαρύτερος ἐφαίνετο τοῦ τῆς πατρίδος ἀξιώματος. κατηγορούμενος γὰρ ὑπ' αὐτῶν δεινῷ θανάτῳ παραλαβὼν τὸν λόγον τοῦτο μόνον εἶπεν ὅτι Ῥωμαίοις οὐ πρέπει κατ' αὐτοῦ φέρειν ψῆφον, δι' οὗ οἱ κατήγοροι ἐξουσίαν ἔχουσι λέγειν μετὰ παῤῥησίας. τούτου δὲ ῥηθέντος ὁ μὲν δῆμος ἅπας ἐντραπεὶς τὸ βάρος τοῦ λόγου παραχρῆμα ἐκ τῆς ἐκκλησίας ἀπεχώρησεν, ὁ δὲ κατήγορος μόνος ἀπολειφθεὶς ἀπῆλθεν εἰς τὴν οἰκίαν καταφρονηθείς. πάλιν δὲ ἐν τῷ συνεδρίῳ χρείας ἐμπεσούσης χρημάτων καὶ τοῦ ταμίου οὐ φάσκοντος ἀνοίξειν αὐτὸς . . . χη τὰς κλεῖς παρελάμβανεν, ὡς τοῦτο πράξειν· αὐτὸς γὰρ καὶ τοῦ κλείειν τοὺς ταμίας ὑπάρχειν αἴτιος. πάλιν δέ τινος λόγον αὐτὸν ἀπαιτοῦντος ἐν τῷ συνεδρίῳ χρημάτων ὧν ἔλαβεν εἰς τὰς τῶν στρατιωτῶν δαπάνας ὡμολόγησε μὲν ἔχειν τὸν λογισμόν, ἀπεῖπε δὲ μὴ ἀποδώσειν· οὐ γὰρ

78. 10. κατὰ] an ὑπό? aut excidit μὴ post τῶν.

78. 16. οὗ] Cod. ἧς; errore ineruditi librarii, qui retulit ad ψῆφον. MAI.

78. 22. οὐ] Particula οὐ deest in cod. quia coaluit cum praecedente ου. MAI.

78. 22. . . . χη] Vocabulum coniectura integrandum est. MAI.

78. 26. ἔλαβεν] ἔλαβε ed. Rom., et mox ἀπεῖπεν.

78. 4. Confer Diodori eclogas ed. p. 620. MAI.

78. 7. Livius XXXIX 26. scribit *nondum omnium dierum solem occidisse.* MAI. Notus Theocriti versiculus I. 102. *ἤδη γὰρ φράσδει πάνθ' ἅλιον ἄμμι δεδύκειν,* ubi iam vel Philippo Macedone teste constat *πάνθ'* ab *ἅλιον* frustra divelli.

78. 10. Pressam Diodori sententiam declarat Livius loc. cit. *placere deduci praesidia Macedonum ex iis urbibus* (Thessalorum, Perrhaeborum etc.) *et antiquis Macedoniae terminis regnum finiri.* Quare et Appianus sic intelligendus est maced. ecl. VII, qui ait iussum Philippum cunctis Graecorum urbibus libertatem concedere. MAI.

78. 17. Conspirat Diodorus cum Polybio XXIV. 9. Intellige autem Africanum maiorem. MAI.

ὀφείλει τοῖς ἄλλοις ὁμοίως ὑπὸ τὸν ἐξετασμὸν πίπτειν. ἐπικειμένου δὲ τοῦ κατηγόρου πέμψας ἐπὶ τὸν ἀδελφὸν ἐκόμισεν ἐπὶ τὸ συνέδριον τὸ βιβλίον καὶ καταπράξας αὐτὸ τῷ κατηγόρῳ προςέταξε ψῆφον ἐκ τούτων προστιθέναι, τοὺς δὲ ἄλλους συγκλητικοὺς ἤρετο πῶς τῶν δεδαπανημένων τριςχιλίων ταλάντων τὸν λόγον ἀπαιτοῦσι, τῶν δὲ μυρίων καὶ πεντακοσίων ὧν παρὰ Ἀντιόχου λαμβάνουσι λόγον οὐκ ἀπαιτοῦσιν οὐδὲ λογίζονται πῶς ὑφ' ἕνα σχεδὸν καιρὸν οὐ μόνον Ἰβηρίας καὶ Λιβύης ἀλλὰ καὶ τῆς Ἀσίας κυριεύουσιν. ὧν ῥηθέντων διὰ τὸ βάρος τῆς παῤῥησίας οὔθ' ὁ κατήγορος οὔτε τῶν συνέδρων οὐδεὶς ἐφθέγξατο.

71 XVII. Ὅτι ἡ πόλις Κεμελετῶν ὑπὸ λῃστῶν καὶ δραπετῶν ᾠκισμένη τὸν πρὸς Ῥωμαίους πόλεμον ἀνεδέξατο, πρέσβεις δ' ἐξαπέστειλε πρὸς Φολούιον ὑπὲρ ἑκάστου τῶν τεθνηκότων αἰτοῦσα λόγον καὶ ἐγχειρίδιον ἔτι δὲ ἵππον· εἰ δὲ μή, καταπολεμήσειν ἠπείλει. ὁ δὲ Φολούιος ἐντυχὼν τοῖς πρέσβεσιν εἶπε μὴ κακοπαθεῖν· αὐτὸς γὰρ ἐπὶ τὴν πόλιν ἥξειν καὶ φθάνειν τὴν ἔξοδον. τὰς δὲ ἐπαγγελίας βεβαιῶσαι βουλόμενος παραχρῆμα ἀνέζευξεν ἐπὶ τοὺς βαρβάρους ἐκ ποδὸς ἀκολουθῶν τοῖς πρέσβεσιν.

Ὅτι τῶν φίλων τινὸς εἰπόντος Πτολεμαίῳ τῷ βασιλεῖ διὰ τί τῆς κοίλης Συρίας οὔσης αὐτοῦ δικαίως ἀφροντιστεῖ πολλὰ περὶ τούτων ἔφησεν αὐτῷ μέλειν. ὑποπεσόντος δὲ τοῦ προσομιλοῦντος πόθεν εὐπορήσει χρημάτων εἰς τὸν πόλεμον ὁ βασιλεὺς δείξας τοὺς φίλους εἶπεν Ὁρᾷς τοὺς ἐμοὺς θησαυροὺς περιπατοῦντας;

79. 1. ὀφείλει] malim ὀφείλειν.
79. 4. προςέταξεν] incipit codicis p. 296.
79. 5. ἤρετο] εἴρετο ed. Rom.
79. 8. ἀπαιτοῦσιν] ἀπαιτοῦσι ed. Rom.
79. 15. Φολούιον] Φιλούιον ed. Rom. et 9. Φιλούϊνς (sic).
79. 16. λόγον] an λόγχην?
79. 21. πρέσβεσιν] πρέσβευσιν ed. Rom.
79. 24. αὐτῷ μέλειν] αὐτῷ μέλλειν ed. Rom.

79. 12. Luculenter haec omnia apud Livium narrantur XXXVIII. 50—55 MAI. Sumpta haec ex Polybio p. ed. Mai. 417.

79. 13. *Cemelion* vel *Cemeneleon* Vediantiorum oppidum alpinum ad Varum novimus. Cellar. geogr. antiq. lib. II. 2. 3. 121. MAI.

79. 15. Existimo hunc esse Q. Fulvium Flaccum, de quo ad urbis annum DLXXV, scribit Livius XL. 59. *alter consulum Q. Fulvius ex Liguribus triumphavit; quem triumphum magis gratiae quam rerum gestarum magnitudini datum constabat. Armorum hostilium magnam vim transtulit, nullam pecuniam admodum.* MAI.

79. 27. Agitur de quinto Ptolemaeo, cognomento epiphane, cui hoc effatum causa necis fuit, teste Porphyrio apud Hieronymum in Dan. XI. 20: *Ptolemaeus epiphanes quum adversus Seleucum exer-*

῞Οτι Περσεὺς τὴν αὐτὴν ἔχων προαίρεσιν τῷ πατρὶ καὶ ταύτην σπεύδων ὑπὸ Ῥωμαίων ἀγνοεῖσθαι πρεσβευτὰς ἀπέστειλεν εἰς Ῥώμην τοὺς ἀνανεωσομένους τὴν πατρικὴν φιλίαν. ἡ δὲ σύγκλητος τὰ πλεῖστα τῶν πραγμάτων αἰσθανομένη τὴν φιλίαν ὅμως ἀνενεώσατο, τὸν ἐξαπατῶντα ὁμοίως ἐξαπατῶσα.

XVIII. ῞Οτι τὰς ἐπιμελείας οὐχ οὕτω διὰ τῶν ὅπλων φόβῳ λαμβάνειν αὔξησιν ὡς τῇ πρὸς τοὺς κρατηθέντας μετριότητι. Θόαντα γάρ τινα ἔκδοτον ἡ σύγκλητος λα- 72
βοῦσα καὶ μεγαλοψύχως ἐνέγκασα τὸν ἄνδρα τῶν ἐγκλημάτων ἀπέλυσεν.

῞Οτι διασαφούντων τῶν Ῥωμαίων ὡς Περσέα κατεστρατήγησαν ἄνευ τῶν ὅπλων ἐπεχείρησάν τινες τῶν ἐκ τῆς βουλῆς ἐπαινεῖν αὐτούς. οὐ μὴν τοῖς πρεσβυτάτοις ἤρεσκε τὸ γεγενημένον, ἀλλ' ἔλεγον μὴ πρέπειν Ῥωμαίοις μιμεῖσθαι Φοίνικας, ὥςτε δι' ἀπάτης ἀλλ' οὐ δι' ἀρετῆς τῶν πολεμίων περιγίνεσθαι.

῞Οτι Ἀνδρόνικος ὁ τὸν παῖδα Σελεύκου δολοφονήσας καὶ πάλιν αὐτὸς ἀναιρεθεὶς εἰς ἀσεβῆ καὶ δεινὴν πρᾶξιν ἑκουσίως ἐπιδοὺς ἑαυτὸν τῷ παθόντι τῆς ὁμοίας τύχης ἐκοινώνησεν.

οἱ γὰρ δυνάσται συνήθεις εἰσὶν ἑαυτοὺς ἐκ τῶν κινδύνων ταῖς τῶν φίλων ῥύεσθαι συμφοραῖς.

XIX. ῞Οτι προνοητικῶς τοῦ συνεδρίου προνοησαμένου κατὰ πάντα εὐκαίρως τῆς τῶν φιλανθρώπων μεταθέσεως ἐπιλαβομένου. τοῦ γὰρ Περσέως ἀντοφθαλ-

80. 5. ἀνενεώσατο] ἀνανεώσατο ed. Rom.
80. 7. ἐπιμελείας] an ἡγεμονίας? conf. p. ed. Rom. 63, 90.
80. 16. ἀλλ'] incipit codicis p. 305.
80. 25. μεταθέσεως] μεταδόσεως?

citum praepararet, quumque unus e ducibus ab illo quaereret, tantas res moliens ubi haberet pecuniam? respondit sibi amicos esse divitias. Quod quum divulgatum esset in populis, timuerunt duces ne auferret eorum substantiam, et idcirco eam maleficis artibus occiderunt. MAI.

80. 11. Thoantem aetolum dedi sibi ab Antiocho postulaverant Romani. Diodor. fragm. ed. p. 621. De huius hominis vita legesis Polybium XXVIII. 4. XXX. 8. MAI.

80. 16. Φοίνικας] Recole p. 48. MAI.

80. 17. Romanos reapse Polybius XIII. 3. laudat propterea quod more vetere bella gererent, id est haec ipsa indicerent, insidiis raro uterentur, cominus pugnarent. MAI.

80. 18. Hic sine dubio est ille impius Andronicus qui Oniam quoque iudaeum pontificem perfide interemit, atque ipse vicissim ab Antiocho IV. iussus est interfici. II. Maccab. IV. 38. Verum quisnam erat ille filius Seleuci? Non certe Demetrius Seleuci quarti filius, qui fuit Romae obses, posteaque regnavit, extincto iam Andronico. MAI.

μοῦντος παραδόξως καὶ τὸν πόλεμον διαφέροντος ἰσόῤῥοπον ἐμετεωρίζοντο πολλοὶ τῶν Ἑλλήνων, ἡ δὲ σύγκλητος ἀεί τι καινοποιοῦσα τοὺς Ἕλληνας φιλανθρώπως ἀνθεῖλκε καὶ παρ' ἕκαστον ἐπελαμβάνετο τῆς τῶν ὄχλων εὐνοίας. ἣν τίς ἂν ἡγεμονίας ἀνὴρ πραγματικὸς ὀρεγόμενος οὐκ ἂν ζηλώσειεν, ἢ τίς εὖ φρονῶν συγγραφεὺς παραλείποι τοῦ συνεδρίου τὴν ἐπίνοιαν ἀνεπισήμαντον; πῶς γὰρ ἂν εἰκότως διαλάβοι Ῥωμαίους τοῦ πλείστου 73 μέρους τῆς οἰκουμένης κεκρατηκέναι τοιούτοις χρωμένους διαβουλίοις; τοιγαροῦν περιενεχθῆναι πᾶσι τοῖς καιροῖς ἁρμοζόντως, καὶ τινὰ μὲν περιορᾶν, τινὰ δὲ ἑκουσίως παρακούειν, καὶ τοτὲ μὲν τὴν ἄλογον ὁρμὴν τοῦ θυμοῦ παρακατέχειν, τοτὲ δὲ ἀφέμενον τὸ μέγεθος τῆς ἰδίας δυνάμεως τοὺς καταδεεστέρους θεραπεύειν χρήσιμον προκατασκευαζόμενον ἔργον, ἐστὶ κατ' ἀρετὴν ἀνδρὸς πάντα τελείου καὶ συνεδρίου κατὰ πάντα πραγματικοῦ καὶ πόλεως ἀγαθῆς καὶ νοῦν ἐχούσης. ἃ δὴ τότε Ῥωμαίων ἡ σύγκλητος ποιοῦσα καθάπερ τινὰς τύπους καὶ ὑποδείγματα καταλέλοιπε τοῖς ἡγεμονίας ἀντεχομένοις καὶ δυναμένοις παραπλάσασθαι πῶς τὰ συμπίπτοντα δεῖ χειρίζειν κατὰ τὰς περιστάσεις.

Ὅτι ὁ Περσεὺς διεπέμπετο πρὸς Γέντιον τὸν τῶν Ἰλλυριῶν βασιλέα μέγιστον ὄντα τῶν τότε δυναστῶν περὶ κοινοπραγίας. τοῦ δὲ φήσαντος ἐθέλειν μὲν πολεμεῖν πρὸς Ῥωμαίους, ἀπορεῖν δὲ χρημάτων, πάλιν διεπέμπετο πρὸς αὐτὸν ἐθελοκωφῶν περὶ τῶν χρημάτων. τὴν δὲ αὐτὴν λαβὼν ἀπόκρισιν τὸ τρίτον ἀπέστειλε, νοῶν μὲν τὴν τοῦ Γεντίου διάνοιαν, προςποιούμενος δὲ ἔφησε κατὰ νοῦν γενομένων αὐτοῖς τῶν πραγμάτων τὰ εὐδοκοῦντα ποιήσειν.

81. 2. Ἑλλήνων] Ἑλληνικῶν ed. Rom.
81. 5. ὧν] Cod. ὃν. MAI. Aut ἣν aut ὃ requiro.
81. 6. ἂν ζηλώσειεν] ἀναζηλώσειεν ed. Rom. et εὐφρονῶν.
81. 8. εἰκότως] Cod. εἰχότος. MAI. Sententia οὐκ εἰκότως requirit. v. Polyb. I. 63. 9. Mox 10. περιενοχθῆναι et 12. 13. bis τότε ed. Rom.
81. 15. ἐστὶ] ἐστὶν ed. Rom. Tum suspectum est πάντα. Exc. Val. p. 556. 79. τοῦτον τέλειον ἄνδρα πρὸς ἀρετὴν κατέστησε.
81. 25. διεπέμπετο] Cod. διέπετο. MAI.
81. 29. αὐτοῖς] incipit codicis p. 306.

81. 5. Haec a senatu romano adhibita lenocinia ob demerendos sibi populos, impendente Persei bello, non reticent Livius XLII. 19, Appianus maced. sect. IX. MAI.

81. 16. Senatus romani venerationem apud Graecos testantur nummi ab his cusi cum inscriptione *ΙΕΡΑ ΣΥΓΚΛΗΤΟΣ*. MAI.

81. 23. Has legationes atque artificia Persei, qui optabat Gentii auxilia, sed stipendia non solvebat, passim irrident historici Polybius, Livius, Appianus, Dio. MAI.

XX. Ὅτι ὁ Περσεὺς οὐδέπω βουλόμενος προέσθαι ἥματα πάλιν ἐξέπεμψε πρεσβευτὰς πρὸς Γέντιον, παρασιωπῶν μὲν περὶ τοῦ δώσειν παραυτίκα χρήματα, μετὰ δὲ τὴν τῶν πραγμάτων συντέλειαν μεγάλας ὑποφαίνων ἐλπίδας· ὥςτε διαπορῆσαι τις ἂν πότερον τὴν τοιαύτην διάδυσιν ἀφροσύνην ἢ τελέως μανίαν ἡγήσαιτο τῶν τὰ 74 τοιαῦτα πραττόντων. ἐπιβάλλονται μὲν γὰρ μεγάλοις καὶ τὴν ἰδίαν παραβάλλονται ψυχήν, παρορῶσι δὲ τὸ μάλιστα ἀναγκαιότατον, καὶ ταῦτα νοοῦντες αὐτοὶ καὶ δυνάμενοι συντελεῖν. Φίλιππος μὲν οὖν Ἀμύντου, πραγματικὸς ἀνὴρ γενόμενος, οὐδέποτε ἐν ταῖς τοιαύταις περιστάσεσιν ἐφείσατο χρημάτων ἀλλὰ διαδοὺς πλείονα τῶν αἰτουμένων ταχὺ καὶ προδοτῶν πλῆθος ηὕρισκε καὶ συμμάχων. τοιγαροῦν ἐν τοῖς ἐλαχίστοις τῶν κατὰ τὴν Εὐρώπην ἐγένετο βασιλέων, καὶ δύναμιν κατέλιπε δι' ἧς ὁ διαδεξάμενος Ἀλέξανδρος τὸ πλεῖστον τῆς οἰκουμένης κατεστρέψατο. Περσεὺς δὲ χρημάτων σεσωρευμένων πλῆθος διά τε τὰς πατρικὰς καὶ τὰς ἰδίας ἐκ πολλῶν χρόνων παρασκευὰς οὐδενὶ τρόπῳ τούτων ἐθέλησεν

82. 4. *ὑποφαίνων*] *ἀποφαίνων* ed. Rom., et mox *διαπορῆσαι*. Diodor. XIV. 39. *μεγάλας ὑποφαίνων παρὰ τοῦ βασιλέως ἐλπίδας*. Exc. p. 577. 15. *μεγάλας τοῦ μέλλοντος ὑποφαίνων ἐλπίδας*.

82. 5. *πότερον*] Cod. *πρότερον*. MAI.

82. 7. 8. *ἐπιβάλλονται — παραβάλλονται*] *ἐπιβάλλοντες — παραβάλλοντες* ed. Rom. Conf. Polyb. XXVIII. 9. 4. qui mox *αὐτό*.

82. 14. *τοιγαροῦν οὐκ*] Particula negativa *οὐκ* non est in codice, quae tamen addenda videbatur. Alioqui dicendum esset: *quare qui in minimis Europae regibus antea censebatur* etc. MAI. Bene a me textum Diodori emendatum fuisse demonstrat Syncellus ed. paris. p. 263, apud quem Philippus dicitur *μεγίστην πασῶν τῶν κατὰ τὴν Εὐρώπην ἀναδείξας τὴν Μακεδόνων ἀρχήν*. IDEM in Add. Hanc quidem defensionem ex ipso Diodoro parare licebat XVI. 1. *οὗτος γὰρ ἐλαχίσταις ἀφορμαῖς χρησάμενος μεγίστην τῶν κατὰ τὴν Εὐρώπην δυναστειῶν κατεσκεύασε τὴν ἰδίαν βασιλείαν*, nisi indidem defenderetur codicis scriptura. Conf. Demetrii Phalerei de Macedoniae sub prima Philippi tempora obscuritate locum infra p. 81. ed. Rom. Neque qui *μεγίστην* dixerunt Philippi *βασιλείαν* iidem *οὐκ ἐλαχίστην* dixerint.

82. 18. *πλῆθος*] ante hoc deest *ἔχων*, nisi *πλείστων* aut *σεσωρευμένου πλήθους* vel *σεσωρευκὼς πλῆθος* scribatur.

82. 12. De Philippi liberalitate satis est legere Diodorum nostrum XVI. 55. MAI.

82. 14. Polybius I. 2. regnum Macedonum ab hadriatico mari usque ad Istrum patuisse observat, cum maximum fuit, ante Alexandrum. Ita fere loquitur etiam Livius XLV. 9. MAI.

82. 19. Persei pecuniam aestimare licet ex Livio XLV. 40; Cicerone de off. II. 22.; Plinio XXXIII. sect. 17; Valerio Max. IV. 3. 8. MAI.

ἄψασθαι· τοιγαροῦν ἑαυτὸν συμμάχων ἐποίησεν ἔρημον καὶ τοὺς ἑαυτοῦ κρατήσαντας ὕστερον πλουσιωτέρους ἐποίησεν. καίτοι γε τοῦτο φανερὸν ἦν πᾶσιν ὡς διὰ χρημάτων βουλόμενος ἐκτείνειν τὰς χεῖρας πολλοὺς ἂν τῶν τότε βασιλέων καὶ δήμων ἔπεισε συμμαχεῖν· ἀλλὰ καλῶς ποιῶν οὐκ ἔπραττε ταῦτα δι' ὧν ἢ κρατηθεὶς ἂν ἐποίησε πολλοὺς τῶν Ἑλλήνων τῆς αὐτῆς ἀτυχίας μετασχεῖν ἢ καὶ κρατήσας τῶν ὅλων ἐξουσίαν ὑπερήφανον καὶ βάρος δυσυπόστατον περιεποιήσατο.

XXI. Ὅτι τοῦ Περσέως ἐν Δίῳ περὶ τὴν τοῦ σώματος θεραπείαν γενομένου τῶν σωματοφυλάκων τις εἰςδραμὼν εἰς τὸν λουτρῶνα τὴν παρουσίαν τῶν πολεμίων ἐδήλωσεν. ὁ δ' ἐπὶ τοσοῦτον ἐπτοήθη τὴν ψυχὴν ὥςτε
75 ἐξαλλόμενος ἐκ τῆς πικρίας καὶ παίσας τὸν μηρὸν ἐμπαθῶς Οὐδὲ παραταξαμένους ἡμᾶς, εἶπεν, ὦ θεοί, παραδίδοτε τοῖς πολεμίοις ἀγεννῶς.

Ὅτι Ῥωμαῖοι τοὺς νενικηκότας ἐτρέψαντο· ἐνίοτε γὰρ τὰ παραστήματα τῶν ἀνδρῶν καὶ τὰ τελέως ἀπηλπισμένα πρὸς ἀπεγνωσμένην ἄγει συντέλειαν.

XXII. Ὅτι οἱ ἐπίτροποι Πτολεμαίου τοῦ μείρακος Εὐλαῖος ὁ εὐνοῦχος καὶ Ληναῖος ὁ Σύρος πάντα πόρον καὶ μηχανὴν ἐπενόουν καὶ ἄργυρον καὶ χρυσὸν καὶ τὴν ἄλλην γάζαν εἰς τὸ βασιλικὸν ἐσώρευον, ὅπως οὐκ ἂν τις θαυμάσειεν εἰ διὰ τοιούτων ἀνθρώπων ἐν οὕτω

83. 9. περιεποιήσατο] περιποιήσατο ed. Rom.
83. 14. πικρίας] desidero πυέλου aut eiusmodi quid. Appianus ὕδατος.
83. 14. παίσας] παίξας ed. Rom.
83 17. ὅτι] incipit codicis p. 197.
83. 18. ἀπηλπισμένα] ἀπελπισμένα ed. Rom.
83. 19. ἀπεγνωσμένην] Cod. ἀπογνωσμένην. MAI.

83. 9. Eripit hanc circa Perseum sententiam Diodorus Polybio XXVIII. 9. MAI.

83. 16. Persei desidiam in urbe Dio obiurgat Diodorus in fragm. ed. p. 578. Quod autem in balineo notitiam hostium adventantium acceperit Perseus, dicit etiam Appianus apud Suidam voc. ἀναλαμβάνειν, sine dubio Diodorum expilans. MAI.

83. 19. Romanos ante adventum Aemilii proelio equestri fuisse victos a Perseo, quem postea debellaverunt, exploratum est. Iustinus XXXIII. 1; Appianus maced. ecl. X; Polybius XXVII. 8. Iam Diodori sententiam hanc latius exornat Fronto orator de bell. parth. ed. rom. p. 202. MAI.

83. 21. Ptolemaei VI. philometoris tutores hi erant. Lege Hieronymum in Dan. cap. XI. ubi is passim expilat Polybium, Diodorum atque Porphyrium. Hieronymus, si recta scriptura est, habet *Eulaius*, non contracta graeca diphthongo. Apud Polybium XXVIII. 17, belli causa confertur praecipue in Eulaeum. MAI.

βραχεῖ καιρῷ τηλικαῦται τὸ μέγεθος θεωρίαι κατεσκευάσθησαν, καὶ ὅπως μὲν εὐνοῦχος, ὃς καὶ προσφάτως τὸν κτένα καὶ τοὺς ἀλαβάστρους ἀποτεθειμένος τῶν τῆς Ἀφροδίτης ἔργων τοὺς Ἄρεος ἀγῶνας ἐδέξατο, ὁ δὲ Κοιλοσυρίτης γεγονὼς δοῦλος καὶ μόνον οὐ μετὰ χεῖρας ἔχων ἔτι τὸ λογιστήριον ἐτόλμησε τὸν περὶ Συρίας πόλεμον ἀναλαβεῖν, Ἀντιόχου μὲν δυνάμεσι καὶ ταῖς ἄλλαις χορηγίαις οὐδενὸς ἧττον ἰσχύσαντος· τὸ δὲ μέγιστον ὄντες ἄπειροι τελείως τῶν κατὰ πόλεμον ἀγώνων καὶ μηδένα μήτε σύμβουλον ἔχοντες ἀξιόχρεον μήθ᾽ ἡγεμόνα δυνατὸν ἐπεβάλοντο τηλικούτοις ἔργοις. τοιγαροῦν αὐτοί τε τῆς ἀφροσύνης ταχέως τὴν προσήκουσαν ἐκομίσαντο τιμωρίαν καὶ τὴν βασιλείαν ἀνέτρεψαν ἄρδην τὸ καθ᾽ αὑτοὺς μέρος. τὰ γὰρ τοιαῦτα παρασημαινόμεθα πρὸς τὸ τὰς αἰτίας ἀκριβῶς θεωρεῖσθαι τῶν ἐλαττωμάτων καὶ κατορθωμάτων, καὶ τοῖς μὲν καλῶς προστατοῦσι τῶν 76 πραγμάτων ἔπαινον ἀποκομίζοντες, τῶν δὲ φαύλως διοικούντων κατηγοροῦντες. ἅμα μὲν γὰρ τὰς ἐφ᾽ ἑκάτερα προαιρέσεις τῶν ἀνδρῶν ἐμφανεῖς κατασκευάζομεν καὶ τὸν οἰκεῖον λόγον ἑκατέροις ἀπονέμοντες προτρεπόμεθα τὰς τῶν ἀναγινωσκόντων ψυχὰς πρὸς τὸν τῶν καλῶν ζῆλον, ἅμα δὲ τὴν ἱστορίαν ἔγκαρπον καὶ πᾶσι χρησίμην ἐφ᾽ ὅσον ἡμῖν δυνατὸν κατασκευάζομεν διὰ τὸ τὰς ψιλῶς ἐχούσας ναυμαχίας καὶ παρατάξεις ἔτι δὲ νομοθεσίας μηδὲν διαφέρειν μύθων.

XXIII. Ὅτι τὰ πλήθη συναγαγόντες εἰς ἐκκλησίαν οἱ τοῦ Πτολεμαίου καὶ σύντομον τέλος ἐπιθήσειν τῷ πολέμῳ κατεπαγγειλάμενοι τοῦτό γε οὐ διεψεύσαντο, ταχὺ καὶ σφίσιν αὐτοῖς τὸ τέλος τοῦ βίου περιποιήσαντες. ἐπὶ τοσοῦτον δὲ διὰ τὴν ἀπειρίαν εὐέλπιδες ἦσαν τοῦ μὴ μόνον Συρίας κρατήσειν ἀλλὰ καὶ τῆς βασιλείας Ἀντιόχου πάσης, ὥστε τῶν συναχθέντων ἐκόμιζον τὰ πλεῖ-

84. 2. ὃς] delendum videtur.
84. 6. ἔτι] Cod. ἐπί. MAI.
84. 10. ἔχοντες] ἔχοντες τ᾽ ed. Rom.
84. 12. τῆς] τ᾽ ed. Rom.
84. 19. ἐμφανεῖς] ἐμφανῶς ed. Rom.
84. 27. Πτολεμαίου] Deest in cod. ἐπίτροποι. MAI.
84. 29. τοῦ] incipit codicis p. 198.

84. 8. τῶν τῆς Ἀφροδίτης ἔργων τοὺς Ἄρεος ἀγῶνας ἐδέξατο] Diodor. XIII. 20. ὑπεδεξάμην δ᾽ αὐτῶν ἀγγελίαν ἢ τὸν ἐκείνων θάνατον ἐμήνυε. Vbi ἀντ᾽ αὐτῶν Reiskii coniectura supervacua est.
84. 22. Hoc institutum suum vituperandi vitium, laudandi virtutem, iam professus erat Diodorus XV. 1. MAI.

στα καὶ τῶν ἐκ κυλικείου χρυσωμάτων· ἀπεσκευάσαντο δὲ καὶ τῶν βασιλείων κλίνας τὰς πλείστας μὲν ἀργυρόποδας, ὀλίγας δὲ καὶ χρυσόποδας, πρὸς δὲ τούτοις ἱματίων καὶ κόσμου γυναικείου καὶ τῶν πολυτελεστάτων λίθων πλῆθος· ταῦτα δὲ ἔφασαν κομίζειν εἰς τοὺς προχείρως τούτοις ἢ πόλεις ἢ φρούρια παραδώσοντας. τὰ δὲ οὐχ οὕτως εἶχεν, ἀλλ' ἔφερον ἕτοιμα χορηγεῖα πρὸς τὸν κατ' αὐτῶν ὄλεθρον.

XXIV. Ὅτι ὁ Ἀντίοχος διὰ στρατηγήματος ἀντιδοξουμένου ἐκυρίευσε τοῦ Πηλουσίου. πᾶς γὰρ πόλεμος ἐκβεβηκὼς τὰ νόμιμα καὶ δίκαια τῶν ἀνθρώπων ὅμως ἔχει τινὰς ἰδίους καθαπερεὶ νόμους, οἷον ἀνοχὰς μὴ 77 λύειν, κήρυκα μὴ ἀναιρεῖν, τὸν τὸ σῶμα αὑτοῦ πρὸς τὴν τοῦ κατισχύοντος πίστιν * τιμωρεῖσθαι. ταῦτα καὶ τὰ τούτοις ὅμοια προσηκόντως ἄν τις ἀποφήναιτο τὸν Ἀντίοχον καθάπερ τοὺς ἀπὸ τῶν δικαστηρίων συκοφάντας τὸ μὲν ῥητὸν τοῦ νόμου τετηρηκέναι μετὰ τὰς ἀνοχὰς τὴν κατάληψιν πεποιημένον, τὸ μέντοι γε δίκαιον καὶ καλόν, δι' ὧν ὁ πάντων συνέχεται βίος, μὴ τετηρηκέναι. διὰ γὰρ τὴν συγγένειαν ὀφείλων φείδεσθαι τοῦ μειρακίου, καθάπερ αὐτὸς ἔφησε, τοὐναντίον ἐξαπατήσας ἐπεβάλετο τοῖς ὅλοις σφῆλαι τὸν πεπιστευκότα.

XXV. Ὅτι ὁ Περσεὺς τὰ δοθέντα πρὸς διαρπαγὴν χρήματα ἀναλαβόμενος τῆς ἐπαγγελίας ἀπεστέρησε τοὺς δόντας, μέγιστον παρασχόμενος σημεῖον ὡς ἡ φιλαργυρία τῶν ἀνθρώπων πρὸς τοῖς ἄλλοις κακοῖς καὶ τὸ φρο-

85. 1. κυλικείου] κυλικίου ed. Rom.
85. 12. 13. μὴ λύειν] Cod. μήνυσιν. MAI.
85. 13. αὑτοῦ] αὐτοῦ ed. Rom.
85. 14. παραδιδόντα μὴ τιμωρεῖσθαι] Verba παραδιδόντα μὴ a me supplentur. Nam in codice prorsus nulla sunt. MAI.
85. 24. ἐπαγγελίας] ἐπαγγελείας ed. Rom.

85. 10. **Artificium narrat Livius XLV. 11, quod nempe Aegypto excedens Antiochus, Pelusium valido praesidio retinuerit, ut Aegypti portae sibi paterent. Simulatae quoque amicitiae convivium memorat Hieronymus in Dan. XI. 27. MAI.**

85. 18. **Has quoque inducias narrat Livius loc. cit. Nempe pactus erat Antiochus cum Ptolemaeo haud se occupaturum Aegyptum si intra dictam diem conditiones quasdam iniustas impetravisset. Et perstitit quidem in induciis Antiochus; verum his transactis, Aegyptum denuo pervasit, et Ptolemaeum sororis suae filium regno evertere adgressus est; nisi Antiochum Romani inhibuissent. Lege etiam Euseb. chron. ed. Mediol. lib. I. 22. MAI.**

85. 25. **Confer Diodori fragmenta ed. p. 580. MAI.**

νεῖν ἀφαιρεῖται. τὸ γὰρ μηδ' ἐν ἀπεγνωσμέναις ἐλπίσι παύεσθαι τοῦ λυσιτελοῦς καὶ τῆς πρὸς τὸ κέρδος ἐπιθυμίας, πῶς οὐκ ἄν τις ἡγήσαιτο τῶν φρενῶν τελέως ἐξεστηκέναι τοὺς ταῦτα πράττοντας, ὡς μὴ θαυμάζειν ὅπως κατεπολεμήθησαν οἱ Μακεδόνες ὑπὸ Ῥωμαίων, ἀλλ' ὅπως τετραετῆ χρόνον ἀντέσχον τοιοῦτον ἔχοντες ἡγεμόνα.

Ὅτι Δαρείου μετὰ τὴν πρώτην μάχην ἐκχωροῦντος τοῦ μέρους τῆς βασιλείας καὶ τετρακισμύρια τάλαντα καὶ τὴν θυγατέρα πρὸς γάμον διδόντος ἀπεκρίθη μήτε τὸν κόσμον ὑπὸ δυεῖν ἡλίων δύνασθαι διοικεῖσθαι μήτε οἰκουμένην ὑπὸ δυεῖν δεσποτῶν.

XXVI. Ὅτι ὁ ὕπατος Αἰμίλιος τὸν Περσέα λαβόμενος τῆς χειρὸς εἰς τὸ περὶ αὐτὸν συνέδριον ἐκάθισεν, 78
ἁρμόζουσι λόγοις τοῦτον παραμυθησάμενος. τοὺς δὲ ἐν τῷ συνεδρίῳ παρεκάλει, καὶ μάλιστα τούτων τοὺς νέους, βλέποντας εἰς τὰ παρόντα καὶ θέντας ὑπὸ τὴν ὅρασιν τὴν Περσέως τύχην μήτε μεγαλύνεσθαι ἐπὶ τοῖς κατορθώμασι παρὰ τὸ καθῆκον μήτε βουλεύεσθαι μηδὲν ὑπερήφανον περὶ μηδενὸς καθόλου, μηδὲ πιστεύειν μηδέποτε ταῖς εὐτυχίαις, ἀλλ' ἐάν τις μάλιστα ἐπιτυγχάνῃ κατὰ τὸν ἴδιον βίον ἢ τὰς κοινὰς πράξεις, τότε μάλιστα τῆς ἐναντίας τύχης ἔννοιαν λαμβάνειν καὶ διὰ μνήμης ἔχειν ἑαυτὸν ἄνθρωπον ὄντα. διαφέρειν γὰρ ἀπεφήνατο τοὺς ἀνοήτους τῶν νοῦν ἐχόντων τῷ τοὺς μὲν ἐν ταῖς

86. 1. *μηδ' ἐν*] Cod. *μη δεῖν*, MAI.
86. 9. *τετρακισμύρια*] vid. annot. ad Diodor. XVII. 54.
86. 10. *γατέρα*] incipit codicis p. 333.
86. 11. *οἰκουμένην*] *τὴν οἰκουμένην* est XVII. 54.
86. 17. *ὅρασιν*] *ἄρασιν* ed. Rom., quem non esse typothetae lapsum testis interpretatio *exsecrabantur*.
86. 18. *μεγαλύνεσθαι*] Cod. *μεγάλην*. MAI. Mox *κατορθώμασιν* ed. Rom.
86. 21. *ἐπιτυγχάνῃ*] *ἐπιτυγχάνει* ed. Rom.
86. 23. *διὰ*] abest ab ed. Rom.

86. 1. Lege Eunapium vaticanum in rebus Valentis caesaris. MAI.

86. 12. Equidem haec narratio tralaticia per se videretur, quia Darius longe aetate superior; sed arbitror a Diodoro opportune hanc rem fuisse memoratam, dum scriberet, Persei exitum qui ultimus Macedonum rex fuit, et Alexandri magni avitum regnum supremo fato obruit. MAI.

86. 14. *εἰς τὸ περὶ αὐτὸν συνέδριον ἐκάθισεν*] **Ita cod. pro** *ἐν τῷ συνεδρίῳ ἐκάθισεν;* **quae est locutio graecis auctoribus, et quidem ipsi Diodoro non insolita, veluti lib. V. 84.** *διατρίβων εἰς τὰς νήσους.* **MAI.**

ἰδίαις ἀτυχίαις, τοὺς δὲ ἐν ταῖς τῶν ἄλλων διδάσκεσθαι. Ὅτι πολλὰ καὶ ἄλλα πρὸς τὴν τοιαύτην προαίρεσιν διαλεχθεὶς οὕτως ἐποίησε συμπαθεῖς τοὺς ἐν τῷ συνεδρίῳ καὶ ταπεινοὺς τοῖς φρονήμασιν ὥςτε δοκεῖν αὐτοὺς ἡττῆσθαι καὶ μὴ νενικηκέναι.

87. 1. ἀτυχίαις] εὐτυχίαις ed. Rom.: illud Polybius Exc. Vatic. p. 434.

87. 2. Sententia extat aliis verbis apud eundem Diodorum etiam in fragm. ed. XXI. p. 494. Aemilii autem adlocutionem Livius quoque scribit XLV. 8. graecos sine dubio historicos in latinam linguam transferens. MAI.

L. XXXI.

I. Ὅτι οἱ τῶν Ῥοδίων πρέσβεις ἐπὶ τὰς διαλύσεις ἐλ- 79 θεῖν ὡμολόγουν· τὸν γὰρ πόλεμον πᾶσιν ὄντα βλαβερὸν ἀπεφήναντο.

Ὅτι ὁ Ἀντίοχος τὴν ἀρχὴν ἐσεμνύνετο λέγων οὐ τῆς κατ' Αἴγυπτον βασιλείας ἑαυτὸν ἐπιθυμοῦντα παρεσκευάσθαι μεγάλας δυνάμεις εἰς τὸν πόλεμον, ἀλλὰ τῷ πρεσβυτέρῳ Πτολεμαίῳ βούλεσθαι συγκατασκευάσαι τὴν πατρῴαν ἀρχήν. οὐ μὴν τό γε ἀληθὲς οὕτως εἶχεν, ἀλλὰ διαγωνοθετῶν τὰ μειράκια διελάμβανε μεγάλης χάριτος ἀφορμὴν παρέχων ἀκονητὶ κυριεύσειν τῆς Αἰγύπτου. τῆς γὰρ τύχης αὐτοῦ τὴν προαίρεσιν ἐξελεγχούσης καὶ τὴν πρόφασιν ἀφαιρούσης φανερὸς ἐγένετο τῶν πολλῶν βασιλέων οἳ τοῦ λυσιτελοῦς οὐδὲν τῶν καλῶν προὐργιαίτερον τίθενται.

II. Ὅτι ἀπαντήσασι τὸν Ἀντίοχον τοῖς Ῥωμαίοις, κἀκείνου μακρόθεν ἅμα τῇ φωνῇ ἀσπαζομένου καὶ τὴν δεξιὰν ἐκτείνοντος, ὁ μὲν Ποπίλλιος πρόχειρον ἔχων τὸ

88. 10. *ἀκονητὶ*] Ita cod. Et quidem *ἀκονητὶ* pro *ἀκοντὶ* vulgo legi etiam in Polybii codicibus, commode adnotatur in scholiis criticis ad eundem auctorem XXXII. 20. Apud Diodorum nostrum XV. 51. est *ἀκοντί*. MAI.

88. 12. *φανερὸς*] fortasse *φανερῶς*, aut ad *βασιλέων* deest *ὤν*.

88. 16. *κἀκείνου*] *κἀκεῖθεν* ed. Rom.

88. 16. *τῇ φωνῇ*] *τῆς φωνῆς* ed. Rom. Similiter peccatum Diod. l. XIII. p. 554. 98.

88. 17. *Πόπλιος*] Ita cod. pro *Ποπίλιος*, Latini etiam auctores scribunt *Popilium*. MAI. *Πόπλιος* ed. Rom. etiam 89. 7., 15.

88. 8. Quia Photius cod. CCXLIV. p. 2055. res Rhodiorum in XXXI. libro Diodori legebat, idcirco vaticana haec excerpta eadem in sede colloco. Porro arbitror, breve hoc de Rhodiis pacis suasoribus comma pertinere ad illorum legationem quam in urbem Alexandriam miserunt ob sedandum Antiochi epiphanis bellum adversus Ptolemaeum puerum, quam rem scribit Polybius XXVIII. 15; immo apud hunc cap. 19. cognoscimus, expilata propemodum a Diodoro Polybii verba. Confer tamen etiam XXIX. 7. Nisi forte Rhodii Romae loquuntur pro pace inter Perseum et Romanos; qua super re Gellius VII. 3. MAI.

βιβλίον ἐν ᾧ τὸ τῆς συγκλήτου δόγμα κατεκεχώριστο προέτεινε καὶ αὐτὸν ἐκέλευσεν ἀναγνῶναι τὸν Ἀντίοχον·
80 τοῦτο δὲ ἔδοξε ποιεῖν ὅπως μὴ πρότερον ὡς φίλον δεξιώσηται πρὶν ἢ διὰ τῆς προαιρέσεως γνωσθῇ πότερον πολέμιός ἐστιν ἢ φίλος. ἐπεὶ δὲ ἀναγνοὺς ὁ βασιλεὺς ἔλεξε παρὰ τῶν φίλων γνώμην λαβεῖν περὶ τούτων, ἀκούσας ὁ Ποπίλλιος ἐποίησε πρᾶγμα βαρὺ δοκοῦν εἶναι καὶ παντελῶς ὑπερήφανον. ἔχων γὰρ προχειρότατον ἀμπέλινον βακτήριον περιέγραψε τῷ κλήματι τὸν Ἀντίοχον καὶ διεκελεύσατο τὴν ἀπόκρισιν ἐν τούτῳ ποιῆσαι. ὁ δὲ βασιλεὺς τὰ μὲν ξενιζόμενος ἐπὶ τῷ γεγονότι, τὰ δὲ καταπεπληγμένος τὴν ὑπεροχὴν τῆς Ῥωμαίων ἡγεμονίας, πρὸς ἀμηχανίαν ἐλθὼν καὶ τὰ σύμπαντα λογιζόμενος ἔφη ποιήσειν πᾶν τὸ παρακελευόμενον ὑπὸ Ῥωμαίων. οἱ δὲ περὶ τὸν Ποπίλλιον ἅμα πάντες τὴν δεξιὰν αὐτοῦ λαβόντες ἠσπάζοντο φιλοφρόνως. ἦν δὲ γεγραμμένα λύειν παραχρῆμα τὸν πρὸς Πτολεμαῖον πόλεμον. ὁ δὲ βασιλεὺς ἀκολούθως τοῖς γεγραμμένοις τὰς δυνάμεις ἐξήγαγεν ἐξ Αἰγύπτου, ἐκπεπληγμένος τὴν Ῥωμαίων ὑπεροχήν, ἅτε καὶ προσφάτως ἀκηκοὼς τὸ τῶν Μακεδόνων πταῖσμα· τοῦτο γὰρ μήπω γεγενῆσθαι δοκῶν οὔποτ' ἂν ἑκουσίως προσεῖχε τῷ δόγματι.

III. Ὅτι ἀληθὴς ἦν ἄρα ὡς ἔοικε τὸ ῥηθὲν ὑπό τινων τῶν πάλαι σοφῶν, ὅτι συγγνώμη τιμωρίας αἱρε-

89. 1. κατεκεχώριστο] κατεκεχώριτο ed. Rom.
89. 2. προέτεινε] incipit codicis p. 334.
89. 6. λαβεῖν περὶ τούτων] In codice interpungitur post λαβεῖν. MAI.
89. 10. ποιῆσαι] praestat ποιεῖσθαι.
89. 17. ἀκολούθως] ἀκολουθῶς ed. Rom.
89. 21. προσεῖχεν] Cod. προσέχειν. MAI.

89. 9. Ipsam tortilem virgam in circulum flexisse Popilium, eoque regem audaciter conclusisse satis indicat heic Diodorus, tum Livius XLV. 12, Iustinus XXXIV. 3, Polybius XXIX. 11, tum etiam, ut videtur, Valerius Max. VI. 4. 3. At Hieronymus in Dan. XI. 30. ait: *orbem Popilius dicitur fecisse in arenis baculo, quem tenebat manu, et circumscripsisse regem* etc. Cum Hieronymo conspirat Paterculus I. 10. MAI.

89. 22 Hanc clausulam, variatis verbis, sumit Diodorus a Polybio XXIX. 11. MAI.

89. 24. Est Pittaci dictum, alibi bis in vaticanis his excerptis a Diodoro memoratum. Iam universus, qui sequitur in hoc capite sermo, videtur mihi a Diodoro petitus ex oratione Catonis pro Rhodiensibus in senatu romano habita. Gellii lib. VIII. 3. luculentum locum heic subtexam, quem lectores cum Diodoro nostro utiliter comparabunt. „Rhodiensis civitas, quum amica atque socia populi „romani foret, Persa tunc Philippi filio Macedonum rege, cum quo „bellum populo romano fuit, amico usa est: connixique sunt Rho-

τωτέρα· πάντες γὰρ ἀποδεχόμεθα τοὺς ἐπιεικῶς χρωμένους ταῖς ἐξουσίαις, προσκόπτομεν δὲ τοῖς προπετῶς τὰς κολάσεις λαμβάνουσι παρὰ τῶν ὑποπεσόντων. διόπερ ὁρῶμεν τοὺς μὲν πρὸς τὰ παράδοξα τῆς τύχης καλῶς 79 τεθησαυρικότας τὰς χάριτας παρὰ τοῖς εὖ παθοῦσι, τοὺς b δὲ οὐ μόνον ἐν ταῖς ἐναντίαις περιστάσεσιν ὁμοίαν ἀπολαμβάνοντας τιμωρίαν παρὰ τῶν ἀγνωμονηθέντων, ἀλλὰ καὶ τὸν κοινὸν πρὸς τοὺς ἐπταικότας ἔλεον ἑαυτῶν παρῃρημένους. οὐ γὰρ δίκαιον τὸν ἐπὶ τῶν ἄλλων ἀπειπάμενον πᾶσαν φιλανθρωπίαν αὐτὸν ἐν μέρει περιπταίσαντα τυγχάνειν τῆς παρὰ τῶν κρατούντων ἐπιεικείας. καίτοι γε πολλοὶ τῷ μεγέθει τῆς κατὰ τῶν ἐχθρῶν τιμωρίας σεμνύνεσθαι τολμῶσιν, οὐ προσηκόντως τοῦτο ποιοῦντες· τί γὰρ λαμπρὸν ἢ μέγα τὸ τοὺς πεσόντας

90. 5. τεθησαυρικότας] τεθαυρικότας ed. Rom. et mox εὐπαθοῦσι.
90. 14. οῦντες] incipit codicis p. 125.

„dienses, legationibus Romam saepe missis, id bellum inter eos „componere. Sed ubi ista pacificatio perpetrari nequivit, verba a „plerisque Rhodiensibus in concionibus eorum ad populum facta „sunt, ut si pax non fieret, Rhodienses regem adversus populum „romanum adiutarent: sed nullum super ea re decretum factum „est. At ubi Perses victus captusque est, Rhodienses pertimuere „ob ea, quae compluries in coetibus populi acta dictaque erant: „legatosque Romam miserunt, qui temeritatem quorundam popu„larium suorum deprecarentur, et fidem consiliumque publicum „expurgarent. Legati postquam Romam venerunt, et in senatum „intromissi sunt, verbisque suppliciter pro sua causa factis, e cu„ria excesserunt; sententiae rogari coeptae, cumque partim senato„rum de Rhodiensibus quererentur, maleque eos animatos fuisse „dicerent, bellumque eo illis faciendum censerent; tum M. Cato „exsurgit, et optimos fidissimosque socios defensum conservatumque „pergit, orationemque inclutam dicit, quae inscripta est pro Rho„diensibus." Eius principium est: *Scio solere plerisque hominibus rebus secundis atque prolixis atque prosperis animum excellere, superbiam atque ferociam augescere atque crescere, quod mihi nunc magnae curae est, quia haec res tam secunde processit, nequid in consulendo adversi eveniat, quod nostras secundas res confutet: neve haec laetitia nimis luxuriose eveniat. Adversae res se domant et docent quid opus sit facto: secundae res laetitia transvorsum trudere solent a recte consulendo atque intelligendo. Quo maiore opere edico suadeoque, uti haec res aliquot dies proferatur, dum ex tanto gaudio in potestatem nostram redeamus etc.* Tum pergit Gellius de Catone dicere. „Summa ope nititur ut causa Rhodien„sium, quorum amicitiam retineri ex rep. fuit, aut aequa iudica„retur, aut quidem certe ignoscenda etc. Interdum quasi deliquisse „eos concedat, ignosci postulat, et ignoscentias utiles esse rebus „humanis docet: ac nisi ignoscant, metus in rep. rerum novarum „movet: sed enim contra, si ignoscatur, conservatum iri ostendit „populi romani magnitudinem etc." MAI.

ὑπὸ τὴν ἐξουσίαν περιβαλεῖν ἀνηκέστοις συμφοραῖς; τί δὲ ὄφελος τῆς γεγενημένης νίκης, ἂν ὑπερηφάνως χρησάμενοι τοῖς κατορθώμασιν ἐξαλείφωμεν τὴν προϋπάρχουσαν εὐφημίαν ἀνάξιοι φανέντες τῶν εὐτυχηθέντων; μέγιστον γὰρ καρπὸν δικαίως ἄν τις ἡγήσαιτο τοῖς πραγμάτων ὀρεγομένοις τὴν ἐπὶ τοῖς καλοῖς ἔργοις εὐδοξίαν. διὸ καὶ θαυμάσαι τις ἂν πῶς ἅπαντες σχεδὸν ὁμολογοῦντες εἶναι τὴν ἐν ἀρχῇ περιβοηθεῖσαν ἀπόφασιν ἀληθῆ καὶ συμφέρουσαν ἐπὶ τῆς πείρας οὐ βεβαιοῦσι τὴν ἰδίαν γνώμην. δεῖ δὲ οἶμαι τοὺς νοῦν ἔχοντας, ὅταν τὰ μέγιστα ἐπιτυγχάνωσι, τότε μάλιστα τῆς ἐναντίας περιστάσεως ἔννοιαν λαμβάνειν, καὶ νικᾶν μὲν ἀνδρείᾳ τοὺς ἀντιτεταγμένους, ἡττᾶσθαι δὲ εὐγνωμοσύνῃ τοῦ τῶν ἐπταικότων ἐλέου· ταῦτα γὰρ συμβάλλεται μεγάλα πρὸς αὔξησιν πᾶσι μὲν ἀνθρώποις, μάλιστα δὲ τοῖς ἡγεμονίας προεστηκόσιν. ἕκαστος γὰρ τῶν ἠσθενηκότων ἑκουσίως ὑποταττόμενος προθύμως ὑπηρετεῖ καὶ πάντα συμπράττει μετ' εὐνοίας. ταύτης δ' ἐοίκασι Ῥωμαῖοι μάλιστα πεποιῆσθαι πρόνοιαν, βουλευόμενοι πραγματικῶς καὶ ταῖς εἰς τοὺς κρατηθέντας εὐεργεσίαις θηρώμενοι παρὰ μὲν
80 τῶν εὖ παθόντων χάριτας ἀειμνήστους, παρὰ δὲ τῶν
b ἄλλων πάντων τὸν δίκαιον ἔπαινον.

IV. Ὅτι τῆς τύχης εὐροούσης τοῖς Ῥωμαίοις ἐβουλεύοντο μετὰ πολλῆς ἐπισκέψεως πῶς καθήκει χρήσασθαι τοῖς εὐτυχήμασι κατὰ τρόπον εὐχερέστερον εἶναι τοῦ καταγωνίσασθαι τοῖς ὅπλοις τοὺς ἀντιταχθέντας. οὐ μὴν καὶ τἀληθὲς οὕτως ἔχει· πλείους γὰρ εὑρεῖν ἔστι τοὺς εὐγενῶς κινδυνεύοντας τῶν ταῖς εὐημερίαις ἀνθρωπίνως χρωμένων.

Οὗτοι δὲ πολλὰ πρὸς δέησιν καὶ παραίτησιν εἰπόντες καὶ τὸ τελευταῖον κατὰ τὴν παροιμίαν τὸ κύκνειον ᾄσαντες μέλος μόγις ἔλαβον ἀποκρίσεις, δι' ὧν τοῦ φόβου παρείθησαν. Ὅτι τῶν ἐπηρτημένων φόβων ἐδόκουν

91. 3. ἐξαλείφωμεν] ἐξαλείφομεν ed. Rom.
91. 19. βουλευόμενοι] βουλόμενοι ed. Rom.
91. 21. εὖ παθόντων] εὐπαθόντων ed. Rom.
91. 25. post εὐτυχήμασι haec fere desunt: πολλοὶ μὲν οὖν ἡγοῦνται τὸ χρήσασθαι τοῖς εὐτυχήμασι.
91. 27. τἀληθὲς] ἀληθὲς ed. Rom.

91. 29. Haec item pertinent ad deliberationem in senatu romano habitam, utrum bellum indicendum esset Rhodiis necne. MAI.
91. 33. Extat hic locus iisdem fere verbis in Diodori fragmentis editis lib. XXXI. p. 515; verum idem sumitur ex Polybio XXX. 4. Legatorum rhodiorum oratio extat dives apud Livium XLV. 22. Duae vero apud Polyb. XXX. 4. MAI.

ἀπολελύσθαι, τὰ δ' ἄλλα καίπερ ὄντα δυσχερῆ ῥαδίως ἔφερον. ὡς ἐπίπαν οἱ πολλοὶ διὰ τὸ μέγεθος τῶν προσδοκωμένων κακῶν καταφρονοῦσι τῶν ἐλαττόνων συμπτωμάτων.

"Οτι πρὸς τοὺς θαυμάζοντας τὴν ἐν τῷ θεάτρῳ ἐπιμέλειαν ὁ στρατηγὸς Αἰμίλιος ἀπεφήνατο τῆς αὐτῆς εἶναι ψυχῆς ἀγῶνάς τε τάξαι κατὰ τρόπον καὶ τὰ κατὰ πότον οἰκείως χειρίσαι καὶ παρατάξασθαι τοῖς ἀντιτεταγμένοις στρατηγικῶς.

"Οτι οὐδὲν οὕτω γλυκὺ φαίνεται τῶν ἠτυχηκότων 81 ἐνίοις ὡς τὸ ζῆν, καίπερ αὐτῶν ἄξια θανάτου πασχόντων· ὅπερ συνέβη εἰς Περσέα τὸν Μακεδόνων βασιλέα γενέσθαι.

V. "Οτι ἀκμαζούσης τῆς τῶν Μακεδόνων βασιλείας Δημήτριος ὁ Φαληρεὺς ἐν τῷ περὶ τύχης ὑπομνήματι

92. 2. διὰ τὸ] δι' αὐτὸ ed. Rom.
92. 4. μάτων] incipit codicis p. 126.
92. 6. ἀπεφήνατο] ἀπεφήνετο ed. Rom.
92. 7. πότον] τύπον ed. Rom.: correctum ex Polybio Exc. Vatic. p. 437.

92. 4. Rursus deprehendimus Diodorum imitatorem Polybii XXX. 5. MAI.

92. 9. Est ipsum Pauli Aemilii dictum, teste Livio XLV. 32, quum Amphipoli ludicrum magnificentissimum ederet: *vulgo dictum ipsius ferebant, et convivium instruere et ludos parare, eiusdem esse qui vincere bello sciret.* Quam sententiam arripuit Fronto priac. hist. ed. rom. p. 322, ut Lucii Veri imp. insaniae theatrali adularetur. Item in tertia ep. Alsiensi. MAI.

92. 13. Extat hoc breve comma in photianis eclogis libri XXXI. (Wessel. p. 516.) unde belle rursus cognoscimus vaticanorum excerptorum certam sedem. Ad rem quod attinet, paria dicit Plutarchus in Aemilio cap. XXXIV. MAI.

92. 15. A Demetrio phalereo scriptum fuisse *de fortuna* librum testis hactenus erat Laërtius in vita illius. Nunc praeclarum deperditi operis fragmentum invenimus; et quidem bis scriptum cum varietate apud Diodorum, nec non apud Polybium ut infra videbimus. Sine dubio autem Diodorus non a Demetrio ipso sed a Polybio hunc locum hausit, atque in suam historicam bibliothecam nonnullis variatis intulit. Et archetypum igitur et exemplar eius uno tempore eodemque in codice deprehendimus. MAI. Polybii verba p. 434. s. ed. Maii, ut singulis comparandis supersederem, integra quemadmodum in codice scripta sunt attuli: *ὥστε πολλάκις καὶ λίαν μνημονεύειν τῆς Δημητρίου τοῦ Φαληρέως φωνῆς. ἐκεῖνος γὰρ ἐν τῷ περὶ τῆς τύχης ὑπομνήματι βουλόμενος ἐναργῶς ὑποδεικνύναι τοῖς ἀνθρώποις τὸ ταύτης εὐμετάβολον ἐπιστὰς ἐπὶ τοὺς κατ' Ἀλέξανδρον καιρούς, ὅτε κατέλυσε τὴν Περσῶν ἀρχήν, λέγει ταῦτα. Εἰ γὰρ λάβοι τις μὴ χρόνον ἄπειρον μηδὲ γενεὰς πολλὰς ἀλλὰ πεντήκοντα μόνον ἔτη ταύτῃ πρὸ ἡμῶν, γνοίη τ' ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα· πεντηκοστὸν γὰρ ἔτος οἴεσθ' ἂν ἢ Πέρσας ἢ βασιλέας τῶν*

καθάπερ χρησμῳδῶν ὑπὲρ τῶν αὐτῇ συμβησομένων εὐστόχως τούτους τοὺς λόγους ἀποπεφοίβακεν. Εἰ γὰρ λάβοις πρὸ τῆς ἐννοίας μὴ χρόνον ἄπειρον μηδὲ γενεὰς πολλὰς ἀλλὰ πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν, γνοίης ἂν ὡς τὸ τῆς τύχης χαλεπὸν ἐνταῦθα· πεντηκοστῷ γὰρ ἔτει πρότερον οἴεσθ' ἂν ἢ Πέρσας ἢ βασιλέα τῶν Περσῶν ἢ Μακεδόνας ἢ βασιλέα τῶν Μακεδόνων, εἴ τις θεῶν αὐτοῖς προὔλεγε τὸ μέλλον, πιστεῦσαί ποτ' ἂν ὡς εἰς τοῦτον τὸν καιρὸν Περσῶν μὲν οὐδ' ὄνομα λειφθήσεται τὸ παράπαν, οἳ πάσης σχεδὸν τῆς οἰκουμένης ἐδέσποζον, Μακεδόνες δὲ καὶ πάσης κρατήσουσιν, ὧν οὐδ' ὄνομα ἦν γνώριμον; ἀλλ' ὅμως ἡ πρὸς τὸν βίον ἡμῶν ἀναλογία τῆς τύχης καὶ πάντα παρὰ τὸν λογισμὸν τὸν ἡμέτερον καινοποιοῦσα καὶ τὴν αὐτῆς δύναμιν ἐν τοῖς ἐνδόξοις ἐνδεικνυμένη καὶ νῦν ὁμοίως ἐνδεί-
82 *κνυται Μακεδόνας εἰς τὴν Περσῶν ἡγεμονίαν ἐνοικίσασα διότι καὶ τούτοις ἡ τύχη τἀγαθὰ κέχρηκεν, ἕως ἂν ἄλλο τι βουλεύσηται περὶ αὐτῶν. ὃ συνέβη κατὰ τοὺς νῦν χρόνους συντελεσθῆναι. διόπερ καὶ ἡμεῖς ἐκρίναμεν τῇ περιστάσει ταύτῃ τὸν ἁρμόζοντα λόγον ἐπιφθέγξασθαι καὶ τῆς ἀποφάσεως τῆς Δημητρίου μνησθῆναι μείζονος οὔσης ἢ κατ' ἄνθρωπον· προεῖπε γὰρ ἑκατὸν καὶ πεντήκοντα ἔτη περὶ τῶν ὕστερον συμβησομένων.*

93. 6. *οἴεσθ' ἂν ἢ*] *οἶσθα μὴ* ed. Rom.
93. 13. *ἀναλογία*] Ita evidenter in codice; sed mendose, ut arbitror, pro *ἀλογία*. Polybius scribit *ἀσύνθετος τύχη*. MAI.
93. 13. *πάντα*] *πάντως* ed. Rom.
93. 14. *αὐτῆς*] *αὐτῆς* ed. Rom.
93. 15. *ἐνδόξοις*] Melius Polybius *ἐν τοῖς παραδόξοις*, *in insperatis*. MAI.
93. 17. *τούτοις*] *τούτους* ed. Rom.

Περσῶν ἢ Μακεδόνας ἢ βασιλέας τῶν Μακεδόνων, εἴ τις θεῶν αὐτοῖς προὔλεγε τὸ μέλλον, πιστεῦσαί ποτ' ἂν ὡς εἰς τοῦτον τὸν καιρὸν Περσῶν οὐδ' ὄνομα λειφθήσεται τὸ παράπαν, οἳ πάσης τῆς οἰκουμένης ἐδέσποζον, Μακεδόνες δὲ πάσης κρατοῦσιν, ὧν οὐδ' ὄνομα πρότερον ἦν; ἀλλὰ πῶς ἡ πρὸς τὸν βίον ἡμῶν ἀσύνθετος τύχη καὶ πάντα παρὰ λογισμὸν τὸν ἡμέτερον καινοποιοῦσα καὶ τὴν αὐτῆς δύναμιν ἐν τοῖς παραδόξοις ἐνδεικνυμένη, καὶ νῦν ὡς ἐμοὶ δοκεῖ δείκνυσι πᾶσιν ἀνθρώποις Μακεδόνας εἰς τὴν Περσῶν εὐδαιμονίαν εἰσοικίσασα διότι καὶ τούτοις ταῦτα τἀγαθὰ κέχρηκεν, ἕως ἄλλο τι βουλεύσηται περὶ αὐτῶν.

93. 4. *πεντήκοντα μόνον ἔτη ταυτὶ τὰ πρὸ ἡμῶν*] Hinc cognoscimus librum a Demetrio scriptum fuisse primis Ptolemaei philadelphi regnantis annis. MAI.

93. 23. Consentit adamussim Livius XLV. 9. de macedonici regni ab Alexandro ad Perseum statu. MAI.

VI. Ὅτι τῶν τοῦ *Αἰμιλίου* παίδων τῶν δύο παραδόξως τελευτησάντων, καὶ τοῦ δήμου παντὸς διαφερόντως συναλγοῦντος, ὁ πατὴρ τούτων συνήγαγεν ἐκκλησίαν, ἐν ᾗ περὶ τῶν κατὰ τὸν πόλεμον πραχθέντων ἀπολογισάμενος ἐπὶ τέλους διεξῆλθε τοιούτους τινὰς λόγους. ἔφη γὰρ ἑαυτὸν ἐξ Ἰταλίας εἰς τὴν Ἑλλάδα μέλλοντα περαιοῦν τὰς δυνάμεις ἀποθεωρήσας τὴν ἀνατολὴν καὶ τότε τὸν πλοῦν ποιησάμενος ἐνάτης ὥρας καταπλεῦσαι μηδενὸς ἀπολειφθέντος εἰς Κέρκυραν, ἐκεῖθεν δὲ τεταρταῖον ἐν Δελφοῖς καλλιερήσαντα τῷ θεῷ μετὰ πέντε ἡμέρας εἰς Μακεδονίαν γενέσθαι καὶ παραλαβεῖν τὰς δυνάμεις, ἐν ἡμέραις δὲ ταῖς ἁπάσαις πεντεκαίδεκα βιάσασθαι τὰ στενὰ κατὰ τὴν Πέτραν καὶ παρατάξασθαι καὶ νικῆσαι Περσέα· καθόλου δὲ [τεταρταῖος] ἀντοφθαλμοῦντος τοῦ βασιλέως τοῖς Ῥωμαίοις ἑαυτὸν ἐν ταῖς προειρημέναις ἡμέραις ἀπεφήνατο κεκυριευκέναι πάσης Μακεδονίας. καὶ τότε μὲν θαυμάζειν ἔφη τὸ παράλογον τῶν κατορθωμάτων· ὡς δὲ μετ' ὀλίγον κύριος ἐγένετο τοῦ βασιλέως καὶ τῶν τέκνων καὶ τῆς βασιλείας γάζης, πολὺ μᾶλλον θαυμάζειν τὴν εὔροιαν τῆς τύχης· διακομισθέντων δὲ τῶν χρημάτων καὶ τῶν στρατιωτῶν εἰς τὴν Ἰταλίαν ἀβλαβῶς καὶ ταχέως, τόθ' ὁλοσχερῶς διαπορεῖν ἐπὶ τῷ πάντα κάλλιον ἢ προσεδόκα συντελεῖσθαι, τῶν δὲ συγχαιρόντων καὶ μακαριζόντων τὴν εὐποτμίαν αὐτοῦ τότε μάλιστα προσδέχεσθαι παρὰ τῆς τύχης σύμ- 83
πτωμα· διόπερ προσεύχεσθαι τῶν θεῶν τῶν μὲν δημοσίων εἰς μηδὲν ἐμπεσεῖν τὴν μεταβολήν, ἀλλ' εἰ πάντως αὐτῇ πρᾶξαι δέδοκτο δυσχερές, τοῦτ' εἰς αὐτὸν ἐναπερείσασθαι. διόπερ ἅμα τῷ γενέσθαι τὴν περὶ τοὺς παῖδας ἀτυχίαν ἐπὶ μὲν ταύτῃ διαφερόντως λυπηθῆναι, περὶ δὲ τῶν τῆς πατρίδος πραγμάτων εὐθαρσὴς εἶναι καθ' ὅσον ἡ τύχη τὴν παλίρροιαν καὶ τὸν φθόνον οὐκ εἰς τὸ κοινὸν τῶν πολιτῶν ἀλλ' εἰς τὸν ἴδιον ἐκείνου

94. 5. *τινὰς*] incipit codicis p. 161.
94. 12. *πεντεκαίδεκα*] *ιε* ed. Rom.
94. 14. *τεταρταῖος*] Ita cod. Mallem scribere *τεταρταῖον* sine interpunctione. MAI. Puto ex antecedentibus irrepsisse.
94. 28. *αὐτῇ*] *αὖ τι*?
94. 31. *εὐθαρσὴς*] Ad codicis scripturam *εὐθαρσεῖς* Maius: „Ita cod. Sed mallem *εὐθαρσῆ*, ita ut referretur ad Aemilium."

94. 5. Belle recitant hanc orationem, quasi de suo quisque penu promeret, Livius XLV. 41; Plutarchus in Aemilio cap. XXXVI; et Appianus in macedonicis ecl. XVII. MAI.
94. 10. Liv. App. Plutarch. *quinto die.* **Nisi mavis etiam apud Diodorum interpretari** *post quartum diem.* **MAI.**

βίον ἀπέσκηψεν. τούτων ῥηθέντων πᾶς ὁ δῆμος τὴν μεγαλοψυχίαν αὐτοῦ ἐθαύμασεν, ἐπὶ δὲ τοῖς παισὶ πολλαπλάσιον ἔσχε συμπάθειαν.

VII. Ὅτι μετὰ τὴν Περσέως ἧτταν Εὐμένης ὁ βασιλεὺς μεγάλοις καὶ παραδόξοις ἐχρήσατο μεταβολαῖς. ὑπολαβὼν γὰρ ἐν ἀσφαλείᾳ κατακεῖσθαι τὴν ἰδίαν ἀρχήν, ὡς ἂν τῆς πολεμιωτάτης αὐτῷ βασιλείας καταλελυμένης, τότε μεγίστοις περιέπεσε κινδύνοις. ἀγαθὴ γὰρ ἡ τύχη τὰ βεβηκέναι δοκοῦντα ἀσφαλῶς ἀναστρέψαι, κἂν συναγωνίσηταί τι, πάλιν ἐκ μεταβολῆς ἀντισηκοῦν καὶ λυμαίνεσθαι τὰ κατορθωθέντα.

Ὅτι καὶ Προυσίας ὁ τῆς Βιθυνίας βασιλεὺς ἧκε συγχαρησόμενος τῇ συγκλήτῳ καὶ τοῖς τοὺς πολέμους κατορθώσασι στρατηγοῖς· οὗ τὸ τῆς ψυχῆς ἀγεννὲς οὐκ ἄξιον παραλιπεῖν ἀνεπισήμαντον. τῆς μὲν γὰρ τῶν ἀγα-
84 θῶν ἀνδρῶν ἐπαινουμένης ἀρετῆς πολλοὶ τῶν ἐπιγενομένων προάγονται πρὸς τὸν ὅμοιον ζῆλον, τῆς δὲ τῶν φαύλων ἀνανδρίας ὀνειδιζομένης οὐκ ὀλίγοι τῶν πρὸς τὴν κακίαν ὁρμώντων ἀποτρέπονται. διὸ καὶ χρηστέον οὐ παρέργως τῇ τῆς ἱστορίας παῤῥησίᾳ πρὸς ἐπανόρθωσιν τοῦ κοινοῦ βίου.

95. 4. *Εὐμένης*] *Εὐμενὴς* ed. Rom. hic et infra.
95. 9. *ἀναστρέψαι*] immo *ἀνατρέψαι*.
95. 9. *κἂν*] *καὶ* ed. Rom., unde *συναγωνίσασθαι* dedit Maius.
95. 10. *νίσηται*] incipit codicis p. 162.
95. 14. *ἀγεννὲς*] *ἀγενὲς* ed. Rom.
95. 16. *ἐπαινουμένης ἀρετῆς*] malim inverti.
95. 18. *ἀνανδρίας*] *ἀνανδρείας* ed. Rom.

95. 5. Eumenis, qui Pergami regnavit, satis notae ex Polybio sunt cum regia domo Macedonum inimicitiae. Heic vero praecipue intelligitur Gallograecorum in eius regnum incursio, quam aegre sustinuit. Lege Polybium vaticanum. Ad ceteras miserias accessit etiam gravis Romanorum suspicio de Eumene, quasi is Persei partibus studuisset; quam suspicionem numquam Eumenes satis diluere potuit. MAI.

95. 8. Hinc illud obvium in lapidibus fortunae epithetum *ἀγαθή*, non tam *bona* quam *potens* intelligendum est. Apud Italos vox *buono* eundem habet duplicem sensum quem graece *ἀγαθός*. MAI.

95. 15. Sine dubio heic scripserat Diodorus documenta humilis et abiecti animi a Prusia edita, quae vaticanus eclogarius omisit, contentus sequente sententia, quae ad eius titulum *de sententiis* quadrabat. Mutuatus vero materiam fuerat, ut arbitror, Diodorus a Polybio XXX. 16, apud quem adhuc legitur, uedum apud Livium XLV. 44. qui Polybium nominatim auctorem sequi se ait, dum Prusiam *pilcatum capite raso*, *obviam ire legatis romanis solitum*, dicit, *libertumque se populi romani ferre*, *et ideo insignia eius ordinis gerere* etc. MAI.

VIII. Ὅτι ὁ Πτολεμαῖος βασιλεὺς Αἰγύπτου ἐκπεσὼν τῆς βασιλείας παρὰ τοῦ ἰδίου ἀδελφοῦ ἐν ἰδιώτου σχήματι οἰκτρῷ κατήντησεν εἰς τὴν Ῥώμην μετὰ σπάδωνος ἑνὸς καὶ τριῶν παίδων. πεπυσμένος δὲ κατὰ τὴν πορείαν τὸ κατάλυμα τὸ τοῦ Δημητρίου τοῦ τοπογράφου πρὸς τοῦτον· ζητήσας κατέλυσε πεφιλοξενημένον ὑπ' αὐτοῦ πλεονάκις ἐν τῇ κατὰ τὴν Ἀλεξάνδρειαν ἐπιδημίᾳ· ᾤκει δὲ ἐν ὑπερῴῳ στενῷ καὶ παντελῶς εὐτελεῖ διὰ τὸ μέγεθος τῶν ἐν τῇ Ῥώμῃ μισθῶν. ὥςτε τίς ἂν πιστεύσειε τοῖς ὑπὸ τῶν πολλῶν νομιζομένοις ἀγαθοῖς ἢ τοὺς ὑπὲρ τὸ μέτριον εὐτυχοῦντας μακαριστοὺς ἡγήσαιτο; ὀξυτέραν γὰρ καὶ μείζονα μεταβολὴν τύχης καὶ περιπέτειαν οὕτως ἀνέλπιστον οὐκ ἄν τις ἑτέραν ῥᾳδίως εὕροι. οὐδεμιᾶς γὰρ αἰτίας ἀξιολόγου γενομένης τὸ τηλικοῦτο τῆς βασιλείας ἀξίωμα πρὸς ἰδιωτικὴν ταπεινότητα τύχης ἐπεπτώκει καὶ ὁ τοσαύταις μυριάσιν ἐλευθέρων ἐπιτάττων ἄφνω τρεῖς οἰκέτας ἔσχε μόνον περιλελειμμένους ὑπὸ τῶν τῆς ἰδίας τύχης ναυαγίων.

I. Ὅτι νεανίσκων τινῶν πριαμένων ἐρώμενον μὲν 85
ταλάντου, κεράμιον δὲ Ποντικοῦ ταρίχου τριακοσίων

96. 3. οἰκτρῷ] οἰκτῷ ed. Rom.
96. 6. πεφιλοξενημένον] Cod. πεφιλοξενημένος. MAI.
96. 11. μακαριστοὺς] μακαρίστους ed. Rom. et paullo ante πιστεύσειεν.
96. 12. περιπέτειαν] Cod. περιπεῖαν. MAI.
96. 18. ὑπὸ] malim ἀπὸ.
96. 20. ταρίχου] ταρύχου hic et postea ed. Rom.

96. 2. Narratio haec de Ptolemaeo philometore subiungenda est illi quae extat apud Diodorum in valesianis excerptis libri XXXI. p. 584. Ibi dicitur syrus Demetrius obses Romae regius, cognito Ptolemaei ad urbem itinere, obviam illi ivisse ad vicesimum sextum lapidem, atque rogasse ut munera et ornamenta ab se reciperet; quae tamen Ptolemaeus recusavit. In vaticano autem excerpto commode continuatur narratio; nempe quod Ptolemaeus miserabili habitu Romam ingredi voluerit. Quid denique illi Romae acciderit, commode rursus narrare nobis pergit Valerius Max. V. 1: nempe quod senatus romanus intellecto demum regis adventu, publico eum hospitio receperit, quotidianisque muneribus et victu honoraverit. MAI.

96. 5. τοπογράφου] Valerius dicit *pictorem alexandrinum*. MAI.

96. 14. Philometor regno semel et iterum excidit propter suam cum minore fratre discordiam. Lege Porphyrium apud Eusebii chronicon lib. I. 22. MAI.

96. 18. Hactenus certe pertinere libri XXXI. excerpta cognoscimus e valesianis p. 584. quae iam laudavimus fragmentis. Sequentia excerpta pertinere ad XXXII librum, partim saltem mihi videbantur. MAI.

δραχμῶν, ἀγανακτῶν Μάρκος Πόρκιος Κάτων τῶν εὐδοκιμουμένων ἀνδρῶν εἶπεν ἐν τῷ δήμῳ διότι μάλιστα δύνανται κατιδεῖν ἐκ τούτου τὴν ἐπὶ τὸ χεῖρον τῆς ἀγωγῆς καὶ πολιτείας διαστροφὴν, ὅταν πωλούμενοι πλείονος εὑρίσκωνται οἱ μὲν ἐρώμενοι τῶν ἀγρῶν, τὰ δὲ κεράμια τοῦ ταρίχου τῶν ξευγηλατῶν.

Ὅτι τοῦ Δημητρίου πρέσβεις ἀποστείλαντος εἰς Ῥωμαίους ἀπόκρισιν ἔδωκεν αὐτῷ σκαιὰν καὶ δυςάρεστον, ὅτι τεύξεται τῶν φιλανθρώπων Δημήτριος, ἐὰν τὸ ἱκανὸν ποιῇ τῇ συγκλήτῳ κατὰ τὴν τῆς ἀρχῆς ἐξουσίαν.

Ὅτι οἱ Ῥόδιοι ἔχοντες ἀγχίνοιαν καὶ προστασίαν, 86 καὶ ταύτῃ χρώμενοι, διετέλουν καθαπερεὶ τινας ἑκουσίους φόρους λαμβάνοντες παρὰ τῶν βασιλέων. ἐπιδεξίοις γὰρ ἀτοπήμασι καὶ ψηφίσμασι τιμῶντες τοὺς ἐν ἐξουσίαις ὄντας, καὶ τοῦτο πράττοντες βεβαίως καὶ μετὰ πολλῆς προνοίας, πολλαπλασίους χάριτας κομίζονται καὶ δωρεὰς λαμβάνουσι παρὰ τῶν βασιλέων. παρὰ γὰρ Δημητρίου ἔλαβον πυρῶν δωρεὰν εἴκοσι μυριάδας μεδίμνων, κριθῆς δὲ δέκα, καὶ Εὐμένης προσοφείλων τρεῖς μυριάδας ἐτετελευτήκει· ἐπηγγείλατο δὲ καὶ τὸ θέατρον

97. 1. ἀγανακτῶν] Cod. ἀναγκῶν. MAI.
97. 6. ξευγηλατῶν] ξευγημάτων ed. Rom.: correctum ex Diodoro p. 114. ed. Rom. et Polybio Exc. Vat. p. 439., apud quem etiam multo melius πλεῖον εὑρίσκωσιν.
97. 7. εἰς] incipit codicis p. 169.

97. 6. Grave hoc Catonis de romanae iuventutis luxuria dictum sumpsit Diodorus a Polybio, ut ex huius vaticanis excerptis infra ponendis perspicuum fiet, nec non ex editis eiusdem Polybii lib. XXXI. 24. Sed mirari licet, quod idem dictum paulo post recurrit apud ipsum Diodorum paucis variatis. Nimirum post delatas Romam macedonicas opes, luxuriari Romae coeptum est; cui malo opposita mox fuit lex fannia sumptuaria. MAI.

97. 8. ἔδωκεν] Ἔδωκεν non ἔδωκαν, quia intelligitur senatus, qui mox appellatur. MAI.

97. 10. Demetrius syrus qui Romae obses erat, auctore praesertim Polybio Romanis insciis in Syriam profugit, regnumque recuperavit. Polyb. XXXI. 19. sqq. Docet autem nos percommode Zonaras IX. 25. Demetrium, ut deliniret Romanos, a quibus sibi timebat, misisse postea oratores e Syria Romam cum muneribus, et cum Octavii romani percussoribus quos ad poenam tradebat: subdit autem Zonaras Romanos iratos neutram rem recepisse. Haec est igitur ipsa legatio de qua nunc loquitur Diodorus, addito Romanorum acerbo responso. MAI.

97. 11. Rhodiorum προστασίαν laudat nominatim Polybius V. 90, qui locus cum praecedentibus legendus est. MAI.

97. 18. Δημητρίου] Intellige Syriae regem, de quo paulo ante Diodorus. MAI. Diodorus sectatur Polybium V. 88. IDEM in Add.

ὁ βασιλεὺς κατασκευάσειν ἐκ λίθου λευκοῦ. Ῥόδιοι μὲν οὖν κάλλιστα τῶν Ἑλλήνων πολιτευόμενοι πολλοὺς ἔσχον ἁμιλλωμένους τῶν δυναστῶν εἰς τὰς τῆς πόλεως εὐεργεσίας.

II. καθόλου δὲ εἰς τοὺς ἀγῶνας ἐλθὼν ὥςπερ τὰ κίβδηλα τῶν νομισμάτων ἀλλοῖος ἐφάνη καὶ τὸν πόλεμον τοῖς ἰδίοις ἐλαττώμασιν ηὔξησεν.

Ὅτι οἱ Ῥόδιοι ἐδόκουν παραπλήσιόν τι πεπονθέναι ταῖς τῶν ἄρκτων κυνηγίαις. καὶ γὰρ ἐκεῖνα τὰ θηρία κατὰ τὸ μέγεθος καὶ τὴν ἀλκὴν δοκοῦντα εἶναι φοβερά, ἐπειδὰν αὐτοῖς προςβάλωσιν οἱ κυνηγοῦντες κυνίδια μικρὰ ἐνεργὰ δὲ ταῖς ἀλκαῖς, ὑπὸ τούτων εὐχερέστατα τρέπονται. ἐχόντων γὰρ αὐτῶν τοὺς πόδας ἁπαλοὺς καὶ σαρκώδεις, ἐκ τῶν ὑποκάτω μερῶν δάκνοντα τὰς πτέρνας ἀναγκάζει καθίζειν, ἕως ἄν τις τῶν κυνηγετῶν βαλὼν ἐπιτύχῃ· διὰ γὰρ τὴν βραδύτητα καὶ δυςκινησίαν ἀδυνατεῖ ψαῖραι τῆς τῶν κυνιδίων ἐλαφρότητος. καὶ οἱ Ῥόδιοι διαβεβοημένην ἔχοντες τὴν ἐν τοῖς ναυτικοῖς ἀγῶσιν ὑπεροχὴν ὑπὸ μυαίων καὶ εὐαγωδίων παντελῶς μικρῶν παραδόξως συγκυκλούμενοι πανταχόθεν εἰς δυςχρηστίαν ἐνέπιπτον τὴν μεγίστην.

III. Ὅτι ἐν Κελτιβηρίᾳ πόλις ἦν μικρὰ Βεγέδα κα- 89
λουμένη, καὶ ταύτης μεγάλην ἐπίδοσιν λαβούσης ἐψηφίσαντο αὐτὴν μείζονα κατασκευάζειν. ἡ δὲ σύγκλητος ὑποπτεύσασα τὴν ἐπὶ πλεῖον αὐτῶν ἰσχὺν ἐξαπέστειλε

98. 3. ἁμιλλ.] ἀμιλλ. ed. Rom. et mox κύβδηλα.

98. 6. νομισμάτων] Cod. νν, superimpositis οο, quem nexum ita explicavi. MAI.

98. 9. ἄρκτων] ἄρκων ed. Rom.

98. 16. δυςκινησίαν] δυσκυνησίαν ed. Rom.

98. 19. μυαίων καὶ εὐαγωδίων] sunt navicularum nomina, sed corrupta. Ad μυαίων alludit μυοπάρων, ad alterum ἀκάτιον.

98. 20. συγκυκλούμενοι] Cod. συγκαλούμενοι. MAI.

98. 21. μεγίστην] μεγάλην ed. Rom.

98. 25. ἐξαπέστειλε] Codex ἐξεπ. Sed idem melius ἐξαπ. p. 92. MAI.

98. 7. Perobscurum mihi est de quonam homine heic loquatur Diodorus; quamquam rhodium aliquem intelligendum esse vix dubito. MAI. Polybii de Aristocrate verba esse XXXIII. 9. monuit Maius ad Polybii Exc. Vat. p. 433.

98. 21. Suspicor loqui Diodorum de Rhodiorum cum Cretensibus bello, quod in haec tempora incidit, teste Polybio XXXIII. 14. Sed tamen coniectura satis incerta est. Rhodiorum quidem artem maritimam celebrat mithridatico bello Diodorus fragm. ed. p. 613. MAI.

98. 22. Num eadem urbs est atque *Bergidum* vel Antonini vel Ptolemaei? Equidem urbem *Begedam* ac rem ipsam cum Romanis transactam perinde ignoro. MAI.

τοὺς κωλύοντας κατὰ τὰς συνθήκας, ἐν αἷς ἦν ἐπὶ ἄλλοις πλείοσι γεγραμμένον μηδὲ κτίζειν πόλιν ἐξουσίαν ἔχειν Κελτίβηρας ἄνευ Ῥωμαίων. ἀπεκρίθη δέ τις τῶν πρεσβυτέρων ὄνομα Κάκυρος ὅτι κτίζειν μὲν αὐτοὺς αἱ συνθῆκαι κωλύουσιν, αὔξειν δὲ τὰς πατρίδας οὐκ ἀπαγορεύουσιν· αὐτοὺς δὲ μὴ κτίζειν μὴ γεγενημένην πόλιν, ἀλλὰ τὴν οὖσαν ἐπισκευάζειν· οὐδὲν δὲ παρὰ τὰς συνθήκας πράττειν οὐδὲ τὸ κοινὸν ἔθος πάντων ἀνθρώπων. καὶ τὰ μὲν ἄλλα πειθαρχεῖν Ῥωμαίοις καὶ συμμάχους εἶναι προθύμως, ὁπόταν αὐτοῖς χρεία γένηται, τῆς δὲ κατὰ τὴν πόλιν οἰκοδομίας κατ' οὐδένα τρόπον ἀποστήσεσθαι. τοῦ δὲ πλήθους ὁμοθυμαδὸν ἐπισημαινομένου τὴν γνώμην οἱ πρεσβευταὶ τῇ συγκλήτῳ ταῦτα ἀπήγγειλαν· ἡ δὲ ἔλυσε τὰς συνθήκας καὶ πόλεμον ἐπήνεγκεν.

IV. Ὅτι τοὺς Ἑλληνικοὺς πολέμους εἷς καιρὸς κρίνει, τοὺς δὲ Κελτιβηρικοὺς ἡ νὺξ κατὰ τὸ πλεῖστον διέλυσε τῆς ἀκμῆς τῶν ἀνδρῶν καὶ τῆς ὁρμῆς ἔτι μενούσης, τὸν δὲ πόλεμον οὐδὲ χειμὼν διέλυσε. διὸ καὶ τὸν ὑπό τινων λεγόμενον πύρινον πόλεμον οὐκ ἂν ἕτερόν τις ἢ τοῦτον νοήσειεν.

Ὅτι ὁ τῶν Ῥοδίων δῆμος ἐπηρμένος μὲν τῷ θυμῷ
90 πρὸς τὴν εἰς τὸν πόλεμον ὁρμὴν καὶ παρασκευήν, ἀποπίπτων δὲ ἐν ταῖς ἐπιβολαῖς, εἰς παραλόγους ἐννοίας ἐνέπιπτε καὶ παραπλησίους τοῖς ἐν ταῖς μακραῖς νόσοις δυσποτμοῦσιν. ἐκεῖνοί τε γὰρ ὅταν ταῖς παρὰ τῶν ια-

99. 1. ἄλλοις] πολλοῖς ed. Rom.
99. 2. πλείοσι] incipit codicis p. 170.
99. 5. οὐκ ἀπαγορεύουσιν] οὐ καταγορεύουσιν ed. Rom.
99. 6. αὐτοὺς] αὑτοὺς ed. Rom.
99. 8. οὐδὲ] οὔτε ed. Rom.
99. 10. προθύμως] malim προθύμους.
99. 19. οὐδὲ] Cod. οἱ δὲ. MAI.
99. 23. εἷς] ἐς ed. Rom.
99. 25. ταῖς] Cod. τοῖς. MAI.
99. 26. ἐκεῖνοί τε] ἐκεῖνοι δὲ ed. Rom.

99. 16 Sic Horatius satyr. I. 1: *concurritur, horae momento cita mors venit aut victoria laeta.* MAI.

99. 21. Extat hic tractus de igneo bello Hispanorum copiosior et aliis verbis expressus inter fragmenta edita Polybii XXXV, 1. ex Suida translatus. Ergo et heic Polybium sectatur Diodorus. Ceterum cur id belli genus dicatur igneum, pulchre edisserit ipse Polybius XI. 5, nempe quod semel excitatum incendium vix aut ne vix quidem restingui possit, et omnia seu amica seu hostilia amburantur. Porro manent perennia populorum ingenia et mores; quare et nostris temporibus bellum vere igneum per Hispaniam Lusitaniamque gestum vidimus. MAI.

τρῶν θεραπείαις ὑπακούσαντες μηδὲν βέλτιον ἀπαλλάττουσι, καταφεύγουσιν ἐπὶ τοὺς θύτας καὶ μάντεις, ἔνιοι δὲ προσδέχονται τὰς ἐπῳδὰς καὶ παντοδαπὰ γένη περιάπτων, καὶ Ῥόδιοι παραλόγως ἐν πάσαις ταῖς ἐπιβολαῖς ἀποπίπτοντες εἰς τὰς ἀπὸ τῶν καταφρονουμένων βοηθείας κατέφευγον καὶ τοιαῦτ' ἔπραττον ἐξ ὧν καταγέλαστοι παρὰ τοῖς ἄλλοις ἔμελλον ὑποληφθήσεσθαι.

Ὅτι οὐχ ἡ κατασκευὴ καὶ τὸ μέγεθος τῶν νηῶν ἀλλ' ἡ τόλμα καὶ τῶν ἀνδραγαθούντων ἐπιβατῶν αἱ χεῖρες καταγωνίζονται.

V. *Ὅτι Καρχηδόνιοι πολεμήσαντες πρὸς Μασανάσσην ἔδοξαν καταλελυκέναι τὰς πρὸς Ῥωμαίους συνθήκας. πρεσβευσάντων δὲ αὐτῶν ἀπόκρισιν ἔδωκαν εἰδέναι ὃ δεῖ γενέσθαι. ἀσαφῆ δὲ τὴν ἀπόκρισιν οἱ Καρχηδόνιοι λαβόντες ἐν μεγάλῃ ταραχῇ ὑπῆρχον.*

Ὅτι οἱ τὰς ἡγεμονίας περιποιήσασθαι βουλόμενοι κτῶνται μὲν αὐτὰς ἀνδρείᾳ καὶ συνέσει, πρὸς αὔξησιν δὲ μεγάλην ἄγουσιν ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ, ἀσφαλίζονται δὲ φόβῳ καὶ καταπλήξει· τούτων δὲ τὰς ἀποδείξεις λάβοις ταῖς πάλαι ποτὲ συσταθείσαις δυναστείαις ἐπιστήσας τὸν νοῦν καὶ τῇ μετὰ ταῦτα γενομένῃ Ῥωμαίων ἡγεμονίᾳ.

Ὅτι τῶν πρεσβευτῶν τῶν Καρχηδονίων τοὺς αἰτίους τοῦ πολέμου τοῦ πρὸς Μασσανάσσην κεκολακέναι ἀπο- 91
φαινομένων, τῶν ἐκ τοῦ συνεδρίου τινὸς ἀναφωνήσαντος Καὶ πῶς οὐ παρ' αὐτὸν τὸν καιρὸν κατεδικάσθη-

100. 7. *ὑποληφθήσεσθαι*] *ὑπολειφθήσεσθαι* ed. Rom. et mox *οὐκ*.
100. 11. *Μασανάσσην*] *Μασανάσην* ed. Rom.
100. 16. *ὅτι*] incipit codicis p. 213.
100. 18. *φιλανθρωπίᾳ*] *φιλανθρωπείᾳ* ed. Rom.
100. 20. *λάβοις*] oportuerat *λάβοις ἄν*.
100. 23. *τοὺς*] abest ed. Rom., quae deinde *Μασσάνα κεκολαυκέναι*.

100. 7. Conf. Polyb. Exc. Vat. p. 441. s.
100. 11. Ut bellum punicum sive adversus Masinissam sive extremum contra Romanos in XXXII. libro collocem, utor duce Photio, qui in secunda huius libri ecloga Carthaginis excidium, in tertia Masinissae laudes habet. MAI.
100. 12. *συνθήκας*] Appianus punic. LXVIII. sqq. MAI.
100. 22. Videtur haec particula orationis in senatu romano fortasse recitatae cum de punico tertio bello deliberaretur. Nisi potius historici ipsius sententia est. MAI. Sedes horum fuerat ante Exc. Val. p. 589. 25.

σαν οἱ τῆς διαφορᾶς αἴτιοι γεγονότες, ἀλλὰ μετὰ τὴν κατάλυσιν τοῦ πολέμου; οἱ τῶν Καρχηδονίων πρέσβεις ὑπεσιώπησαν, οὐκ ἔχοντες δίκαιον οὐδὲ εὔλογον ἀπόφασιν. ἡ δὲ σύγκλητος ἀπόφασιν ἔδωκε δυςτράπελον καὶ δυςκατανόητον· ἐδογμάτισε γὰρ γινώσκειν τοὺς Ῥωμαίους ὃ δεῖ πράττειν αὐτούς.

Ὅτι αἱ γυναῖκες τῶν Καρχηδονίων προςέφερον χρυσοῦς κόσμους· ἐσχάτης γὰρ οὔσης τῆς τοῦ βίου παραγραφῆς ἅπαντες οὐκ ἀπολλύναι τὰ χρήματα διελάμβανον, ἀλλὰ διὰ τῆς τούτων δόσεως ἔκρινον ἐπανορθοῦσθαι τὴν ἑαυτῶν σωτηρίαν.

VI. Ὅτι Κάτων Μάρκος Πόρκιος, ἀποδοχῆς δὲ τυγχάνων μεγάλης ἐπὶ συνέσει, ἐρωτηθεὶς ὑπό τινος τί πράττει ὁ Σκιπίων κατὰ τὴν Λιβύην εἶπεν [μόνος φρονεῖ]

οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.

ὁ δὲ δῆμος τηλικαύτην εὔνοιαν ἔσχε πρὸς τὸν ἄνδρα τοῦτον ὥςτε ὕπατον αὐτὸν γενέσθαι.

101. 3. δίκαιον] Ita cod. MAI.
101. 7. χρυσοῦς] χρύσους ed. Rom.
101. 12. δὲ particula aut prodit omissa quaedam ante ἀποδοχῆς (conf. p. 102. v. 9.) aut ipsa omittenda est.
101. 14. μόνος φρονεῖ] Cod. οἷος μόνος. Sed οἷος tralaticium est ex sequentibus. MAI. Delendum esse quicquid inter εἶπεν et οἷος πέπνυται interponitur quivis videt, et confirmat Polybius apud Suidam v. ἀΐσσουσιν.
101. 16. τοὶ] Cod. τοῖς. MAI.

101. 6. Copiosius heic repetuntur, quae paulo ante eclogarius alius adstrictius excerpserat. De re ipsa lege Appianum pun. LXXIV. MAI.

101. 8. ἐσχάτης — παραγραφῆς] Sic fere loquitur idem Diodorus XVII. 118: ἐπὶ τῆς ἐσχάτης τοῦ βίου γραμμῆς ἐγκαρτερήσασα. MAI.

101. 11. Confer Appianum pun. XCIII. MAI.

101. 16. Ex odyss. X. 495. Sumit autem Diodorus a Polybio, cuius esse hoc fragmentum testatur Suidas voc. ἀΐσσουσιν; ideoque inter Polybii reliquias lib. XXXVI. 6. relatum fuit. MAI.

101. 18. Sermo est de Africano minore. Et quidem in vaticano excerpto contractius iusto hoc fragmentum est. Non enim peculiare amoris indicium fuit quod consulem Scipionem designavit populus, sed quod adhuc adulescentulum et citra legitimam aetatem eo magistratu exornavit. Itaque addenda verba sunt ex ipso Diodoro fragm. ed. p. 591. μήτε τῆς ἡλικίας συγχωρούσης, μήτε τῶν νόμων ἐπιτρεπόντων. MAI.

Ὅτι ἡ τύχη [παρ] καθάπερ ἐπίτηδες ἀγωνοθετοῦσα τὰς συμμαχίας ἐναλλὰξ τοῖς διαπολεμοῦσι παρείχετο.

Ὅτι ἡ σύγκλητος πρεσβευτὰς ἐξαπέστειλεν εἰς τὴν 92
Ἀσίαν τοὺς καταλύσοντας τὸν πόλεμον Νικομήδους καὶ Προυσίου τοῦ ἰδίου πατρός, καὶ εἵλετο ἄνδρας εἰς τὴν πρεσβείαν Λικίνιον ποδαγρικὸν καὶ Μαγκῖνον, ὃς κατατετρημένος ἦν τὴν κεφαλὴν κεραμῖδος ἐπιπεσούσης καὶ τὸ πλεῖον μέρος τῶν ὀστῶν ἐξῃρημένος, καὶ Λεύκιον παντελῶς ἀναίσθητον. ὁ δὲ Κάτων ἀφηγούμενος τοῦ συνεδρίου καὶ συνέσει διαφέρων εἶπεν ἐν τῇ συγκλήτῳ διότι πρεσβείαν ἀποστέλλομεν οὔτε πόδας οὔτε κεφαλὴν οὔτε καρδίαν ἔχουσαν. οὗτος μὲν οὖν τὴν εὐστοχίαν περιβόητον ἔσχε κατὰ τὴν πόλιν.

VII. *Ὅτι κατὰ τὴν πολιορκίαν Καρχηδονίων Ἀσδρούβας διαπρεσβευσάμενος πρὸς Γολόσσην παρεκαλεῖτο*

102. 1. *παρκαθάπερ*] Ita cod. et notemus graecum adverbium, nisi mendum est. MAI.
102. 2. *ἐναλλὰξ*] *ἐνάλλαξ* ed. Rom.
102. 4. *καταλύσοντας*] *καταλύσαντας* ed. Rom.
102. 6. *Λικίνιον*] *Λυκίννιον* ed. Rom.
102. 6. *Μαγκῖνον*] *Μαγνούσιον* ed. Rom., *Μακίνιον* propius verum Polybius Exc. Vatic. p. 449. Frequens circa haec tempora Hostiliorum Mancinorum memoria.
102. 6. *κατατετρημένος*] *κατετρημένος* ed. Rom.
102. 14. *ὅτι*] incipit codicis p. 214.
102. 15. *παρεκαλεῖτο*] aut *προεκαλεῖτο* aut *παρεκάλει* dicendum.

102. 2. *τὰς συμμαχίας ἐναλλὰξ — παρείχετο*] Transierat enim ad Romanos Phamaeas Poenus, ut narrat Appianus Punic. CVII. — CIX., ad Poenos autem Bithyas Numida cum octingentis equitibus de exercitu Gulussae Romanorum socii, ut Appianus ibid. CXI.

102. 2. Pertinet haec particula ad quotidianas quae sub obsessae Carthaginis moenia fiebant, pugnas; alternante armorum fortuna, uti legere licet apud Appianum pun. XCVII. sqq. et Zonaram IX. 27. MAI.

102. 5. Photius in libri XXXII. quarta ecloga habet Prusiae necem ab impio filio Nicomede patratam: unde commode agnoscimus vaticani huius excerpti iustam sedem. MAI.

102. 6. In Polybii vaticanis excerptis occurrit haec narratio, unde plagium Diodori cognoscimus; sed ibi dicitur *Aulus Macinius*. Porro ut Diodorus Polybium, ita hunc vel illum expressit Appianus mithrid. cap. VI, omissis tamen legatorum nominibus. Et in Diodori quidem fragmentis editis nihil superest de controversia Prusiae cum filio, nisi parricidium ab impio filio patratum: sed tamen apud Appianum historiam non indiligenter scriptam legimus. MAI.

102. 15. Gulussa erat e Masinissae regnantibus filiis tertius, quem Scipio cum numidicis copiis ad exercitum romanum adiunxerat. Zonar. IX. 27. MAI.

ἐλθεῖν εἰς σύλλογον, καὶ κατὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ προέτεινε τῷ Ἀσδρούβᾳ αὐτῷ τε καὶ δέκα οἰκίαις αἷς ἂν βούληται ἀσφάλειαν καὶ δωρεὰν ταλάντων δέκα καὶ δοῦλα σώματα ἑκατόν. ὁ δὲ Ἀσδρούβας ἀπεκρίθη μηδέποτε ἐπόψεσθαι τὸν ἥλιον πυρπολουμένης τῆς πατρίδος ἑαυτὸν διασωζόμενον, καὶ τοῖς μὲν λόγοις ἐθρασύνετο, διὰ δὲ τῶν ἔργων ἐφωράθη διαδιδράσκων, ὅς γε καὶ τῆς πατρίδος οὔσης ἐν ἀπεγνωσμέναις ἐλπίσιν ἐτρύφα πότους ἀκαίρους συνάγων καὶ πολυτελῆ δεῖπνα ποιῶν καὶ δευτέρας τραπέζας ὑπερηφάνως διατιθέμενος. καὶ οἱ μὲν πολῖται λιμῷ ἀπέθνησκον, ὁ δὲ πρὸς τοῖς ἄλλοις κακοῖς ἐφόρει πορφύραν καὶ πολυτελῆ χλαμύδα, καθάπερ ἐκβακχεύων τοῖς τῆς πατρίδος δυσκληρήμασιν.

93 VIII. Ὅτι κατὰ τὴν ἅλωσιν τῆς Καρχηδόνος ὁ στρατηγὸς τῆς μεγαλοψυχίας ἢ μᾶλλον μεγαλαυχίας ἐπιλαθόμενος καὶ τοὺς αὐτομόλους καταλιπὼν ἧκε πρὸς Σκιπίωνα μεθ' ἱκετηρίας. προσπεσὼν δὲ τοῖς γόνασι μετὰ δακρύων πᾶσαν δεητικὴν προέμενος εἰς συμπάθειαν ἤγαγε τὸν Σκιπίωνα. ὁ δὲ παρακαλέσας αὐτὸν θαῤῥεῖν καὶ πρὸς τοὺς συνεδρεύοντας φίλους εἰπὼν Οὗτός ἐστιν ὁ πρότερον μὴ βουλόμενος ἐπὶ πολλοῖς φιλανθρώποις σωθῆναι· τοσαύτην μεταβολὴν ἡ τύχη καὶ δύναμιν ἔχει πᾶσαν ἀνθρωπίνην ὑπεροχὴν ἀνελπίστως σφάλλουσα.

Ὅτι τῆς Καρχηδόνος ἐμπρησθείσης καὶ τῆς φλογὸς ἁπάσαν τὴν πόλιν καταπληκτικῶς λυμαινομένης ὁ Σκιπίων ἀπροσποιήτως ἐδάκρυεν. ἐρωτηθεὶς δὲ ὑπὸ τοῦ Πολυβίου ἐπιστάτου τίνος ἕνεκα τοῦτο πάσχει εἶπε Διότι τῆς κατὰ τὴν τύχην μεταβολῆς ἔννοιαν λαμβάνω· ἔσεσθαι γὰρ ἴσως ποτέ τινα καιρὸν ἐν ᾧ τὸ παραπλήσιον πάθος ὑπάρξει κατὰ Ῥώμης· καὶ τούτους στίχους παρὰ τοῦ ποιητοῦ προηνέγκατο,

103. 2. *οἰκίαις*] Cod. *οἰκίας*. MAI.
103. 6. *διασωζόμενον*] *διασωσόμενον* ed. Rom.
103. 10. *διατιθέμενος*] usus postulat *παρατιθέμενος*.
103 12. *πορφύραν*] *πορφυρὰν* ed. Rom.
103. 16. *ἢ*] *δὴ* ed. Rom.

103. 14. In hac et reliqua supremarum Carthaginis rerum narratione sectatur Diodorus more suo Polybium XXXIX. 2. sqq. ita tamen ut aliis verbis utatur, et res ipsas interdum variet. MAI.

103. 28. *ἐπιστάτου*] Huius vocabuli non unum esse significatum scimus; e quibus *praesens* posuimus secuti etymologiam; *magister* vero, quia ipse Polybius XXXIX. 3. rem eandem narrans, addit *καὶ γὰρ ἦν αὐτοῦ καὶ διδάσκαλος*. MAI.

103. 32. Iliad. VI. 448. MAI.

ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαός.

104. 2. Qui mox in codice subsequitur Diodori ingressus in res achaicas, videtur mihi omnino prohoemium initiumque libri. Quamobrem sponte mea librorum heic divisionem feci. Nam codex, more suo perpetuo, continuus est. Transitionem a punicis ad achaicas calamitates videtur spectare Cicero de N. D. III. 38. cum ait: *Critolaus evertit Corinthum, Karthaginem Hasdrubal. Hi duo illos oculos orae maritimae effoderunt.* MAI.

L. XXXIII.

94 I. Ὅτι οὐδέποτε συμφοραὶ τηλικαῦται τὴν Ἑλλάδα κατέσχον ἀφ᾽ ὅτου μνήμης ἱστορικῆς αἱ πράξεις τετεύχασι. διὰ γὰρ τὴν ὑπερβολὴν τῶν ἀκληρημάτων οὔτε γράφων τις οὔτε ἀναγινώσκων ἄδακρυς ἂν γένοιτο. ἐγὼ δὲ οὐκ ἀγνοῶ μὲν ὅτι πρόςαντές ἐστι μεμνῆσθαι τῶν Ἑλλάδος δυςτυχημάτων καὶ τοῖς ἐπιγινομένοις διὰ τῆς γραφῆς παραδιδόναι τὰ πραχθέντα πρὸς αἰώνιον μνήμην· ἀλλ᾽

105. 1. οὐδέποτε] Cod. ὧδε ποτέ. MAI.
105. 1. τηλικαῦται] Cod. τηνικαῦτα. MAI.
105. 3. τὴν ὑπερβολὴν] τῆς ὑπερβολῆς ed. Rom.
105. 3. οὔτε] incipit codicis p. 135.

105. 1. Si ad Photii eclogas, prout sunt in editionibus respiciamus, neque XXXIII, neque XXXV. Diodori librum videtur Photius legisse. Sed enim plane constat, Photii locum codicis CCLXIV corruptum esse, ubi ait lectos a se Diodori libros trigesimum secundum (trigesimum quartum) quadragesimum octavum, trigesimum primum, secundum, quartum, sextum, trigesimum septimum, trigesimum octavum λβ. [λδ.] μη. λα. β. δ. ϛ. λζ. λη. Sane in codicibus quoque vaticanis Photii duobus aeque mendosa scriptura est; neque tamen quisquam sibi persuadebit lectum a Photio librum Diodori XLVIII, qui nullus umquam fuit; praesertim quum ipse Photius cod. LXX, quadraginta tantum fuisse Diodori libros confirmet. Quare et Rhodomannus coactus est manifestum librariorum errorem corrigere, et XXXVIII scribere pro XLVIII, id est materiam ficti octavi quadragesimi in trigesimo octavo ponere. Rursus illa perturbatio numeralium notarum satis innuit huius loci corruptionem. Ergo retento octono notarum numero (excepta illa scilicet nota quae in parenthesi est) sed earum qualitate emendata, sic legere licet λα. λβ. λγ. λδ. λε. λϛ. λζ. λη. id est a XXXI ad XXXVIII. Profecto eclogarius quoque valesianus legisse videtur excerpta a XXXI ad XXXVII, omissis notis librorum XXXIII et XXXV, quod vix tamen credibile putem. Utcumque se ista habent, ausus sum librum XXXII. a XXXIII. dividere: ille enim satis iam mihi plenus videbatur rebus syriacis, rhodiensibus, lusitanis, bello Masinissae, et tertio maxime carthaginiensi. In posteriore autem commode ponebam bellum item maximum et fatale Achaeorum, quod breviter scribi non potuit, et Viriathi Brutique gallaeci gestas res. Id si secus alicui videtur, inscribat librum uti volet: sed tamen meminerit, nullum Diodori librum ab eclogario vaticano praetermitti inlibatum solere. MAI.

ὀρῶ μέρος οὐκ ἐλάχιστον πρὸς διόρθωσιν τῶν ἁμαρτανόντων συμβαλλόμενον τοῖς ἀνθρώποις τὰ διὰ τῆς τῶν ἀποτελεσμάτων πείρας νουθετήματα. ὥςτ' οὐ χρὴ τοῖς 95 ἱστοροῦσι τὰς μέμψεις ἀναφέρειν, ἀλλὰ μᾶλλον τοῖς κεχειρικόσι τὰς πράξεις ἀφρόνως· οὐ γὰρ δι' ἀνανδρίαν στρατιωτικὴν ἀλλὰ δι' ἀπειρίαν στρατηγῶν τὸ ἔθνος τῶν Ἀχαιῶν περιέπεσε τοῖς ἀκληρήμασι. περὶ γὰρ τοὺς αὐτοὺς καιροὺς δεινοῦ πάθους περὶ τοὺς Καρχηδονίους τελεσθέντος οὐχ ἧττον ἀτύχημα, μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ ἀκλήρημα συνέβαινε τοῖς Ἕλλησιν. ἐκεῖνοι μὲν γὰρ ὁλοσχερῶς ἀφανισθέντες καὶ τὴν ἐπὶ τοῖς ἀκληρήμασι λύπην συναπέβαλον, οἱ δὲ ἐν ὀφθαλμοῖς ἰδόντες συγγενῶν καὶ φίλων σφαγὰς καὶ πελεκισμοὺς καὶ πατρίδων ἁλώσεις καὶ ἁρπαγὰς καὶ πανδήμους μεθ' ὕβρεως ἀνδραποδισμοὺς καὶ τὸ σύνολον τὴν ἐλευθερίαν καὶ τὴν παῤῥησίαν ἀποβαλόντες μεγίστων ἀγαθῶν ἠλλάξαντο τὰς ἐσχάτας συμφοράς. ἀφρονέστατα γὰρ εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον ἐμπεσόντες τῶν μεγίστων ἀκληρημάτων ἐπειράθησαν. ἐκ θεῶν γάρ, ὡς ἔοικε, λύσσα τις κατεῖχε τὸ ἔθνος τῶν Ἀχαιῶν καὶ παράδοξος ὁρμὴ πρὸς ἀπώλειαν. αἴτιοι δ' ἦσαν τῶν πάντων κακῶν οἱ στρατηγοί. οἱ μὲν γὰρ αὐτῶν ὄντες κατάχρεοι κινήσεως καὶ πολέμων ὑπῆρχον οἰκεῖοι καὶ χρεῶν ἀποδόσεις εἰςηγοῦντο καὶ πολλοὺς τῶν ἀπόρων χρεωφειλετῶν ἔχοντες συνεργοὺς ἀνέσειον τὰ πλήθη, τινὲς δὲ καὶ δι' ἀφροσύνην ἐνέπεσον εἰς ἀπεγνωσμένους διαλογισμούς. μάλιστα δὲ ὁ Κριτόλαος ἐξέκαυσε τὰς ὁρμὰς τοῦ πλήθους πρὸς

106. 4. κεχειρικόσι] κεχρηκόσι ed. Rom.
106. 5. ἀνανδρίαν] ἀνανδρείαν ed. Rom.
106. 9. μᾶλλον] immo μεῖζον cum Polybio Exc. Vat. p. 452.
106. 14. πανδήμους] πανδημεῖς ed. Rom.
106. 19. ἐπειράθησαν] ἠπειράθησαν ed. Rom.
106. 23. οἰκεῖοι] Num pro αἴτιοι? MAI. Vide, si tanti, Wessel. ad Diod. vol. I. p. 615. 49.
106. 24. χρεωφειλετῶν] χρεωφιλετῶν ed. Rom.
106. 25. καὶ δι' ἀφρ.] δι' ἀφρ. καὶ ed. Rom. et 27. ἐξήκαυσε.

106. 13. πελεκισμοὺς] Notemus vocabulum. Namque hactenus occurrebat πελεκίζω apud nostrum Diodorum XIX. 101, et fragm. vales. p. 615. MAI.

106. 25. Heic prodest cogitare pares illos plebis romanae motus ob aes alienum extinguendum, nec non Solonis σεισάχθειαν. MAI.

106. 26. Foederis achaici duces aeque accusat Polybius XL. 3. 5. MAI.

106. 27. Hic est Critolaus Achaeorum dux qui proelio superatus a Metello romano venenum hausit. Liv. epitom. LII. aliique historici. MAI.

καινοτομίαν, χρώμενος δὲ τῷ τῆς ἀρχῆς ἀξιώματι φανερῶς κατηγόρει Ῥωμαίων εἰς ὑπερηφανίαν καὶ πλεονεξίαν· ἔφη δὲ φίλος μὲν βούλεσθαι Ῥωμαίων ὑπάρχειν,
96 *δεσπότας δὲ ἀκουσίως ἀναδεικνύναι· μὴ προαιρεῖσθαι δὲ βέβαιον, τὸ δὲ καθόλου τοῖς πλήθεσιν, ὡς ἐὰν μὲν ἄνδρες ὦσιν, οὐκ ἀπορήσουσι συμμάχων, ἐὰν δὲ ἀνδράποδα, κυρίων· ἐμφάσεις τε διὰ λόγων ἀπέλειπεν ὡς ἤδη καὶ βασιλεῦσι καὶ πόλεσι διείλεκται περὶ συμμαχίας. — Ὅτι διὰ τῶν λόγων ἐκκαύσας τῶν ὄχλων τὴν ὁρμὴν εἰσήνεγκε ψήφισμα πολεμεῖν τῷ μὲν λόγῳ πρὸς Λακεδαιμονίους, τῷ δὲ ἔργῳ πρὸς Ῥωμαίους. οὕτω δὲ πολλάκις ἡ κακία τῆς ἀρετῆς προτερεῖ, καὶ ἡ πρὸς τὸν ὄλεθρον νεύουσα γνώμη τῆς πρὸς σωτηρίαν ἀπέχεσθαι παρακλήσεως.*

II. *Ὅτι περὶ τῆς Κορίνθου καὶ οἱ ποιηταὶ προειρηκότες ἦσαν*

Κόρινθος ἄστρον οὐκ ἄσημον Ἑλλάδος.

αὕτη πρὸς κατάπληξιν τῶν μεταγενεστέρων ὑπὸ τῶν κρατούντων ἠφανίσθη. οὐ μόνον δὲ κατὰ τὸν τῆς καταστροφῆς καιρὸν ἡ πόλις ἔτυχε παρὰ τοῖς ὁρῶσι με-

107. 4. *μὴ προαιρεῖσθαι δὲ βέβαιον*] an *ἃ προαιρεῖσθαι δὲ βεβαιοῦν* i. e. *propositi tenacem se esse?*
107. 5. *τὸ δὲ*] *τόδε* ed. Rom.: deest autem ad *πλήθεσιν* eiusmodi quid quale est apud Polybium, *θαῤῥεῖν παρῄνει λέγων.*
107. 6. *συμμάχων*] incipit codicis p. 136.
107. 13. *ἀπέχεσθαι*] hoc destituitur verbo *ποιεῖ* aut simili.
107. 18. *ὑπὸ*] *ἀπὸ* ed. Rom.
107. 19. *καταστροφῆς*] malim *κατασκαφῆς*, quod perpetuo cum illo commutatur.

107. 8. **Iucundum est cognoscere quonam pacto Diodorus in suam rem sevocet Polybium, verbis variatis. Sic ergo Polybius XXXVIII. 4:** *Κριτόλαος, θεάτρου συνενθουσιῶντος κ. τ. λ. ἐνεπαῤῥησιάζετο τοῖς τῶν Ῥωμαίων πρεσβευταῖς φάσκων βούλεσθαι μὲν Ῥωμαίους φίλους ὑπάρχειν, δεσπότας δ' οὐκ ἂν εὐδοκῆσαι κτησάμενος· καθόλου δὲ παρῄνει λέγων, ὡς ἐὰν μὲν ἄνδρες ὦσιν, οὐκ ἀπορήσουσι συμμάχων· ἐὰν δ' ἀνδρόγυνοι, κυρίων· ἐποίει δ' ἐμφάσεις κ. τ. λ. ἀλλὰ καὶ τῶν βασιλέων τινὰς, καὶ τῶν πολιτευμάτων ἔνια κοινωνεῖν αὐτῷ τῆς προθέσεως.* **MAI.**

107. 11. Pausanias VII. 14: *Κριτόλαος ἐς Κόρινθον Ἀχαιοὺς ἀθροίσας, ἀνέπεισε μὲν ἐπιφέρειν ὅπλα ἐπὶ τὴν Σπάρτην, ἀνέπεισε δὲ καὶ Ῥωμαίοις ἐκ τοῦ εὐθέως πόλεμον ἄρασθαι.* **Confer Zonaram IX. 31. MAI.**

107. 17. Incognitusne an notus hic versiculus sit, quaerendum superest. Sed Ciceroni is certe prae oculis erat, cum pro lege manilia cap. V. aiebat: ***Corinthum patres nostri totius Graeciae lumen extinctum esse voluerunt.*** **Reconditiores causas, ob quas Corinthus ad interitum ruit, profert idem philosophus Cicero de rep. II. 4: desidiam scilicet, mollitiem, et deliciarum nimiam affluentiam. MAI.**

γάλης συμπαθείας, ἀλλὰ καὶ κατὰ τοὺς ὕστερον χρόνους εἰς ἔδαφος κατεῤῥιμμένη πολὺν ἐποίει τοῖς ἀεὶ θεωροῦσιν αὐτὴν ἔλεον. οὐδεὶς γὰρ τῶν παροδευόντων αὐτὴν παρῆλθεν ἄδακρυς, καίπερ ὁρῶν λείψανα βραχέα τῆς περὶ αὐτὴν γεγενημένης εὐδαιμονίας τε καὶ δόξης. διὸ καὶ κατὰ τοὺς τῆς παλαιᾶς ἡλικίας καιροὺς διεληλυθότων χρόνων σχεδὸν ἑκατὸν θεασάμενος αὐτὴν Γάϊος 97 Ἰούλιος Καῖσαρ ὁ διὰ τὰς πράξεις ὀνομασθεὶς θεὸς ταύτην ἀνέστησεν.

ἐναντία γὰρ πάθη συνεῖχε τὰς ψυχὰς τῶν ἀνθρώπων ἐλπίδι σωτηρίας καὶ προσδοκίαις τῆς ἀπωλείας.

III. Ὅτι ὁ Ὑρίαθος, ἐπὶ τὸν γάμον πολλῶν προτεθέντων πραγμάτων καὶ πολυτελῶν, ὡς ἄδην εἶχε τῆς θέας, ἐπηρώτησε τὸν Ἀστόλπαν Εἶτα ταῦθ' ὁρῶντες οἱ Ῥωμαῖοι παρὰ σοὶ κατὰ τὰς ἑστιάσεις πῶς τῆς τούτων πολυτελείας ἀπείχοντο, δυνάμενοι ταῦτ' ἀφαιρεῖσθαι διὰ τὴν ἐξουσίαν; τοῦ δὲ εἰπόντος ὅτι πολλῶν εἰδότων οὐδεὶς ἐπεβάλετο λαβεῖν ἢ αἰτῆσαι Τί οὖν, εἶπεν, ἄνθρωπε, διδόντων σοι τὴν ἄδειαν καὶ τὴν ἀσφαλῆ τούτων ἀπόλαυσιν τῶν κρατούντων καταλιπὼν τούτους ἐπεθύμησας τῆς ἐμῆς ἀγραυλίας καὶ ἀγενείας οἰκεῖος γενέσθαι; ἦν δὲ οὗτος κατὰ τὰς ὁμολογίας εὔστοχος, ὡς ἂν ἐξ αὐτοδιδάκτου καὶ ἀδιαστρόφου φύσεως φέρων τοὺς

108. 2. κατεῤῥιμμένη] κατεῤῥιμένη ed. Rom.
108. 12. Ὑρίαθος] Ὑριάθος ed. Rom.
108. 13. ἄδην] ἄδειαν ed. Rom. et mox ἐπερώτησε.
108. 14. εἶτα] εἰ ed. Rom.
108. 16. ταῦτ'] ταῦθ' ed. Rom.
108. 17. εἰδότων] aptius ἰδόντων.
108. 22. ὁμολογίας] ἀπολογίας ed. Rom.: illud sumpsi ab Exc. Vales. p. 594. 72., reditque haec permutatio Exc. Legat. p. 632. 65. περὶ τῶν ἐγκλημάτων ἐμφρόνως ὁμολογησάμενοι, ubi ἀπολογησάμενοι pridem restituit Vrsinus, et apud Polybium p. ed. Mai. 386. ἐπὶ τῶν ἀθετούντων τὰς ἀπολογίας προφερόμεθα ταύτην τὴν παροιμίαν, Λοκροὶ τὰς συνθήκας, quod scribendum ὁμολογίας. Sed ipsum hoc apud Diodorum probabiliter ὁμιλίας scribit Wesselingius.

108. 3. Sic loquuntur de Hierosolymis Hieremias, de Smyrna Aristides. MAI.

108. 9. Res aliis verbis innuitur etiam in Diodori fragmentis editis p. 591; quibus nunc vaticana accedunt; nec non a Pausania II. 1. 8. MAI.

108. 11. Utrum haec sententia ad res graecas an ad lusitanas pertineat, prorsus non liquet. MAI.

108. 12. Etiam in excerptis valesianis p. 591 Diodori editis, post corinthiacum excidium subtexuntur Viriathi lusitani res, quamquam ab his vaticanis diversae. Iam de Viriathi nuptiis loquitur sane Diodorus in editis p. 594, sed neque Astolpam socerum nominat, neque habitum cum eo colloquium; neque reliqua dicit de urbe Tucca, et de viri bigami fabula. MAI.

λόγους· καὶ γὰρ τῶν τὴν Τύκκην οἰκούντων οὐδέποτε μενόντων ἐπὶ τῆς αὐτῆς αἱρέσεως, ἀλλ' ὁτὲ μὲν πρὸς Ῥωμαίους ὁτὲ δὲ πρὸς αὐτὸν ἀφισταμένων, καὶ πολλάκις τοῦτο πραττόντων, αἶνόν τινα διελθὼν οὐκ ἀσόφως ἔσκωψεν ἅμα καὶ ἐπέπληξε τὸ τῆς κρίσεως αὐτῶν ἀβέβαιον. ἔφη γάρ τινα μέσον ἤδη τὴν ἡλικίαν ὄντα γαμῆσαι δύο γυναῖκας, καὶ τὴν μὲν νεωτέραν ἐξομοιοῦν ἑαυ-
98 τῇ φιλοτιμουμένην τὸν ἄνδρα ἐκ τῆς κεφαλῆς τὰς πολιὰς ἐκτίλλειν αὐτοῦ, τὴν δὲ γραῦν τὰς μελαίνας, καὶ πέρας ὑπ' ἀμφοτέρων αὐτὸν ἐκτιλλόμενον ταχὺ γενέσθαι φαλακρόν. τὸ παραπλήσιον δὲ καὶ τοῖς τὴν Τύκκην οἰκοῦσιν ἔσεσθαι. τῶν μὲν γὰρ Ῥωμαίων ἀποκτεινάντων τοὺς ἀλλοτρίως πρὸς αὐτοὺς ἔχοντας, τῶν δὲ Λυσιτανῶν ἀναιρούντων τοὺς αὐτῶν ἐχθρούς, ταχὺ τὴν πόλιν ἐρημωθήσεσθαι. πολλὰ δὲ καὶ ἕτερά φασιν αὐτὸν ἐν βραχέσιν ἀποφθέγξασθαι, τῆς μὲν ἐγκυκλίου παιδείας ἄπειρον ὄντα, πρακτικῇ δὲ συνέσει πεπαιδευμένον· ἀνδρὸς γὰρ ἀκολούθως τῇ φύσει ζῶντος σύντομος λόγος ἐστὶν ἀρετῇ συνησκημένος, τὸ δὲ ἀφελείᾳ λόγου βραχέως καὶ ἀπερίττως ῥηθὲν τοῦ μὲν εἰπόντος ἀπόφθεγμα γίνεται, τοῦ δὲ ἀκούσαντος ἀπομνημόνευμα.

IV. Ὅτι φιλεῖ ἡ μὲν ἀσθένεια καὶ ταπεινότης ἀεὶ τὴν λιτὴν αὐτάρκειαν καὶ τὸ δίκαιον, ἡ δὲ ὑπεροχὴ τὴν πλεονεξίαν καὶ τὴν ἐκ τῆς ἀδικίας παρανομίαν.

Ὅτι κατὰ τὸν μῦθον τὸν λεγόμενον περὶ Ἀγαμέμνονος, ὡς ἔθετο ἀρὰν κατὰ τῶν ἀπολειφθέντων εἰς Κρήτην στρατιωτῶν, παλαιὰ διαμένει παρὰ τοῖς Κρησὶ παροιμία δι' ἑνὸς στίχου μηνύουσα τὴν νῦν γενηθεῖσαν περιπέτειαν,

αἰαῖ, Περγάμιοι παρά τοι κακὸν ἡγήσαντο.

109. 2. *μενόντων*] *μὲν ὄντων* ed. Rom. et mox *ὅτε* — *ὅτε*.
109. 3. *ἀφισταμένων*] Cod. *ἀφιστάμενον*. MAI.
109. 3. *καὶ*] incipit codicis p. 145.
109. 8. *τὰς*] *τοὺς* ed. Rom.
109. 9. *μελαίνας*] Cod. *μέλενας*. MAI., qui dedit *μέλανας*.
109. 13. *ἀλλοτρίως*] *ἀλλοτρίους* ed. Rom. et 14. *αὐτῶν*.
109. 15. *βραχέσι*] Cod. *βραχύσι*. MAI.
109. 26. *ὃς*] Cod. *ὡς*. MAI.
109. 29. *αἰαῖ*] *αἶ αἶ* ed. Rom.

109. 1. *Τύκκην*] **Haec urbs scribitur** *Ἰτύκκη*, **apud Appianum hisp. V. gr. cap. LXVII, bello viriathico; sed** *Tucci* **in Antonini itinerario et apud Ptolemaeum. MAI.**

109. 10. Haec fabula aliis verbis scribitur inter aesopicas CIC, ed. Lips. MDCCCX. MAI.

109. 29. Cur hoc loco Diodorus de Cretensibus verba fecerit, non liquet. Ceteroquin de priscis Cretensibus Graecorum apud Troiam adiutoribus, deque peste quae ob id insulam divinitus corripuit, legendus est Herodotus VII. 171. MAI. De rebus Creticis in hac regione egisse Diodorum apparet etiam ex fragmentis Valesianis p. 594.

Ὅτι ὁ ὕπατος Ποπίλλιος Ὑριάτθου περὶ διαλέξεως ἀξιοῦντος ἔκρινε προστάττειν καθ᾽ ἕκαστα τῶν ἀρεσκόντων, ὅπως μὴ λεχθέντων ἀθρόον ἀπογνοὺς ἀποθηριωθῇ πρὸς πόλεμον ἀκατάλλακτον.

V. Ὅτι ἡ πόλις ἡ καλουμένη Κόντουβρις ἀπέστειλε 99 πρεσβευτὰς πρὸς Ῥωμαίους, οἳ κατὰ τὰς δεδομένας ἐντολὰς προὔλεγον ἀπαλλάττεσθαι τὴν ταχίστην ἐκ τῆς χώρας πρὶν ἤ τι παθεῖν· καὶ γὰρ τῶν ἄλλων τοὺς τολμήσαντας ἐμβαλεῖν εἰς τούσδε τόπους πολεμίᾳ δυνάμει πάντας ἀπολωλέναι. ὁ δὲ ὕπατος τούτοις ἀπεκρίθη διότι Λυσιτανοὶ μὲν καὶ Κελτίβηρες μάλιστα ἐπιτηδεύουσιν ἀπειλεῖν μεγάλα καὶ πλεονεκτεῖν, Ῥωμαῖοι δὲ κολάζειν

110. 7. *ταχίστην*] *ταχύστην* ed. Rom.
110. 12. *ἀπειλεῖν*] Cod. *ἀπολειπεῖν*. MAI., qui dedit *ἀπολαλεῖν*.

110. 4. Pax aequis conditionibus cum Viriatho ab imperatore romano facta satis nota est; quae tamen romanam maiestatem nequaquam decere visa est. Nescio tamen cur Diodorus dicat Viriatho oblatam pacem a Popilio, quum auctor eius fuerit Servilianus; Popilius autem post triennium fasces tenuerit. Nisi forte posterioris temporis res narrantur. De pace prima et de Serviliano Appianus hisp. LXIX. MAI. De Q. Fabii Serviliani pace cogitari non posse intelliget qui rem quemadmodum apud Appianum scribitur legerit. Sed ponendum hoc cum Popillio consule colloquium non multo ante Viriathi caedem bellumque Viriathinum a Caepione demum confectum. Ac paciscentem cum Popillio Viriathum memorant etiam Cassius Dio Exc. Vrsin. CLXIII. p. 68. 81. ed. Reim., scriptor de viris ill. c. 71., et qui interfectum etiam a Popillio dicit Florus II. 17. 17. Quos omnes erroris arguit Reimarus, Popillium ab eis partim cum Serviliano partim cum Caepione confusum arbitratus. Sed Servilianae quidem paci qualem Appianus narrat Dionis et Aurelii non magis quam Diodori narrationes conveniunt: de Caepione autem apud Diodorum cogitari non licet, qui caesum ab eo Viriathum perhibet ipse Exc. Photii p. 524. Quod facinus si a Caepione proconsule, non consule, perpetratum statuitur cum Pighio Annal. a. DCXIV., evanescit illud absurdi quo in Dionis narratione offendebatur Reimarus, colloqututum esse Viriathum cum Popillio consule anni $61\frac{4}{5}$, caesum autem a Caepione qui consul fuit a. $61\frac{3}{4}$. Nam quae praeterea Dioni obiecit Beckerus in commentatione de Viriatho et Lusitanis p. 128. minus ei obsunt.

110. 5. *Κόντουβρις*] Puto intelligendam urbem *Centobricam*, uti eam appellat Valerius Max. V, 1. 5. Cogitare etiam licet de nominibus *Contributa* et *Contrebia*. A Valerio nomen quoque consulis discimus, qui nimirum fasces anno urbis DCXI. tenuit: *Q. Metellus celtibericum in Hispania gerens bellum, cum urbem Centobricam obsideret* etc. Porro *Contrebiam* eandem esse urbem, agnoscere videmur ex eodem Valerio II. 7. 10 dicente: *Q. Metellus, quum ad Contrebiam res gereretur.* MAI. Si *ὕπατος* est Metellus, res anni $61\frac{0}{1}$ praevertet annus $61\frac{4}{5}$, quo consul fuit Popillius: cuiusmodi confusio temporum est etiam in rebus Pompeii et Catilinae sub finem horum Excerptorum.

τοὺς ἀδικοῦντας καὶ καταφρονεῖν τῶν ἀπειλῶν· προςήκειν οὖν μὴ ταῖς ἀπειλαῖς ἀλλὰ ταῖς χερσὶν ἐπιδείκνυσθαι τὴν ἀνδρείαν, ἧς δὴ πεῖραν λήψεσθαι τὴν ἀκριβεστάτην.

ἔκρινε κρεῖττον εἶναι μαχομένους ἀποθανεῖν ἐπιφανῶς ἢ γυμνὰ τὰ σώματα τῶν ὅπλων εἰς τὴν αἰσχίστην παραδοῦναι δουλείαν.

ὁ δὲ Ἰούνιος παρακαλέσας τοὺς στρατιώτας, εἰ καί ποτε, νῦν ἀνδραγαθῆσαι καὶ τῶν προγεγονότων κατορθωμάτων ἀξίους φανῆναι. ὅμως οὐκ ἔκαμνον ταῖς ψυχαῖς, κατισχύοντος τοῦ λογισμοῦ τὴν τῶν σωμάτων ἀσθένειαν.

Ὅτι διεδόθη ἡ τῶν Ῥωμαίων πρὸς μὲν τοὺς ἀντιπραττομένους ἀπαραίτητος τιμωρία, πρὸς δὲ τοὺς πειθαρχοῦντας ἡ τῆς ἐπιεικείας ὑπερβολή.

111. 1. καὶ] incipit codicis p. 146.

111. 8. Intellige Decimum Iunium Brutum, cuius res gestas per Lusitaniam recenset Appianus hisp. LXXI. sqq., unde et Gallaeci agnomen reportavit. MAI.

111. 10. Dubitabam num haec historiae particula ab ὅμως etc. separatim potius ponenda esset, aliudque intelligendum, v. gr. facinus illud a Valerio Max. VII. 1. 10. narratum, cum videlicet Metellus apud Contreblam iussit milites suos adversus evidens necis discrimen stationem, quam deseruerant, statim recuperare; quod nisi fecissent, capitale illis futurum erat. MAI.

111. 15. Huc pertinet virgilianum illud de Romanis dictum: *parcere subiectis et debellare superbos.* Fortasse autem heic commemoraverat Diodorus excidia famosarum urbium trium Carthaginis, Corinthi, et Numantiae paucos intra annos patrata. MAI.

L. XXXIV. XXXV. XXXVI.

I. Ὅτι οὐ μόνον κατὰ τὰς πολιτικὰς δυναστείας τοὺς 100 ἐν ὑπεροχῇ ὄντας ἐπιεικῶς χρὴ προσφέρεσθαι τοῖς ταπεινοτέροις ἀλλὰ καὶ κατὰ τοὺς ἰδιωτικοὺς βίους πράως προσενεκτέον τοῖς οἰκέταις τοὺς εὖ φρονοῦντας. ἡ γὰρ ὑπερηφανία καὶ βαρύτης ἐν μὲν ταῖς πόλεσιν ἀπεργάζεται στάσεις ἐμφυλίους τῶν ἐλευθέρων, ἐν δὲ τοῖς κατὰ μέρος τῶν ἰδιωτῶν οἴκοις δούλων ἐπιβουλὰς τοῖς δεσπόταις καὶ ἀποστάσεις φοβερὰς κοινῇ ταῖς πόλεσι κατασκευάζει. ὅσῳ δ' ἂν τὰ τῆς ἐξουσίας εἰς ὠμότητα καὶ παρανομίαν ἐκτρέπηται, τοσούτῳ μᾶλλον καὶ τὰ τῶν ὑποτεταγμένων ἤθη πρὸς ἀπόνοιαν ἀποθηριοῦται· πᾶς ὁ γὰρ ὁ τῇ τύχῃ ταπεινὸς τοῦ μὲν καλοῦ καὶ τῆς δόξης ἑκουσίως ἐκχωρεῖ τοῖς ὑπερέχουσι, τῆς δὲ καθηκούσης φιλανθρωπίας στερισκόμενος πολέμιος γίνεται τῶν ἀνημέρως δεσποζόντων.

II. Ὅτι Δαμόφιλος ὁ Ἐνναῖός ποτε προσελθόντων αὐτῷ τινων οἰκετῶν γυμνῶν καὶ διαλεγομένων ὑπὲρ ἐσθῆτος οὐκ ἠνέσχετο τὴν ἔντευξιν, ἀλλ' εἰπὼν Τί γὰρ οἱ διὰ τῆς χώρας ὁδοιποροῦντες γυμνοὶ βαδίζουσι, καὶ οὐχ ἑτοίμην παρέχονται τὴν χορηγίαν τοῖς χρείαν ἔχου- 101 σιν ἱματίων; [ἀλλ'] ἐπέταξε προσδῆσαι τοῖς κίοσι καὶ πληγὰς ἐμφορήσας [καὶ] ἐξαπέστειλεν ὑπερηφάνως.

Ὅτι ἀπηγριωμένων τῶν ἀποστατῶν δούλων πρὸς ὅλην τὴν οἰκίαν τῶν δεσποτῶν καὶ τρεπομένων πρὸς ἀπαραίτητον ὕβριν καὶ τιμωρίαν ὑπέφαινον ὡς οὐ δι' ὠμότητα φύσεως ἀλλὰ διὰ τὰς προγεγενημένας εἰς αὐ-

112. 4. εὖ φρονοῦντας] εὐφρονοῦντας ed. Rom.
112. 21. ἀλλ'] delendum. Neque altero abhinc καὶ opus.

112. 1. Adgreditur nunc Diodorus ad servile in Sicilia bellum narrandum, quod anno urbis varroniano DCXIX coepit. Porro tam in photianis eclogis p. 525, quam in valesianis p. 598. bellum id exorditur in trigesimo quarto Diodori libro. Atque hinc vaticanorum quoque excerptorum ab editis diversorum iustam sedem cognoscimus. MAI.

τοὺς ὑπερηφανίας ἐλύττων πρὸς τὴν προαδικησάντων κόλασιν τραπέντες. — Ὅτι παρὰ τοῖς οἰκέταις αὐτοδίδακτός ἐστιν ἡ φύσις εἰς δικαίαν ἀπόδοσιν χάριτός τε καὶ τιμωρίας.

Ὅτι Ἀχαιὸς ὁ τοῦ βασιλέως Ἀντιόχου σύμβουλος τοῖς πραττομένοις ὑπὸ τῶν δραπετῶν οὐκ εὐαρεστούμενος ἐπετίμα τε τοῖς τολμωμένοις ὑπ' αὐτῶν καὶ μάλα θρασέως προέλεγεν ὅτι συντόμου τεύξονται τιμωρίας. ὃν ὁ Εὔνους παῤῥησιαζόμενον τοσοῦτον ἀπέσχε τῷ θανάτῳ περιβαλεῖν ὥςτε οὐ μόνον ἐδωρήσατο τὴν τῶν δεσποτῶν οἰκίαν, ἀλλὰ καὶ σύμβουλον ἐποιήσατο.

III. Ὅτι ἡ κατεπείγουσα χρε΄α καὶ σπάνις ἠνάγκαζε πάντα δοκιμάζειν ἀποστάτας δούλους οὐ διδοῦσα τὴν τῶν κρειττόνων ἐκλογήν.

Ὅτι ὑπῆρχεν οὐ διοσημείας δεόμενον τὸ συλλογίσασθαι τῆς πόλεως τὸ εὐάλωτον. φανερὸν γὰρ ἦν καὶ τοῖς εὐηθεστάτοις ὅτι τῶν τειχῶν διὰ πολυχρόνιον εἰρήνην κατεῤῥυηκότων καὶ πολλῶν ἐξ αὐτῆς στρατιωτῶν ἀπολωλότων ἔσται τῆς πόλεως εὐκατόρθωτος ἡ πολιορκία.

102 Ὅτι ὁ Εὔνους ἐκτὸς βέλους ἐπιστατήσας τὴν δύναμιν ἐβλασφήμει τοὺς Ῥωμαίους, ἀποφαινόμενος οὐχ ἑαυτοὺς ἀλλ' ἐκείνους εἶναι δραπέτας τῶν κινδύνων. μίμους δὲ ἐξ ἀποστάσεως τοῖς ἔνδον ἐπεδείκνυτο, δι' ὧν οἱ δοῦλοι τὰς τῶν ἰδίων κυρίων ἀποστασίας ἐξεθεάτριζον ὀνειδίζοντες αὐτῶν τὴν ὑπερηφανίαν καὶ τὴν ὑπερβολὴν τῆς εἰς τὸν ὄλεθρον προαγούσης ὕβρεως.

113 1. *φανίας*] incipit codicis p. 227.
113. 9. *τῷ*] malim *τοῦ*.
113. 13. *διδοῦσιν*] Ita cod. absque alio vocabulo. MAI.
113. 15. *τὸ*] *τοῦ* ed. Rom.

113. 2. Extat aliis verbis in edd. haec sententia p. 527. MAI.
113. 4. Refertur item sententia haec ad ea quae narrantur in editis p. 600. et 527. de Damophili filia in servos benefica, quam hi post defectionem omni benivolentia prosecuti sunt, etiamsi parentes eius ob maleficia crudeliter interemissent. Quare haec vaticana clausula illic appingenda est. MAI.
113. 5. Eunus servus regia dignitate insignitus *Antiochi* nomen sumpsit, quia syrus patria erat: ideoque et asseclas servos, qui secumre bellaverant, appellavit *syros*. Diodor. fragm. ed. p. 529. Idem auctor p. 528. memorat Achaeum Euni sive Antiochi consiliarium. MAI.
113. 19. Oppida quaedam bello servili capta commemorat Orosius V. 9. praeter Diodorum; neque tamen cognoscimus de quo nominatim oppido heic sermo fiat. MAI.

IV. Ὅτι τὰ ἐξηλλαγμένα δυστυχήματα, εἰ καί τινες πεπεισμένοι τυγχάνουσι μηδενὸς τῶν τοιούτων ἐπιστροφὴν ποιεῖσθαι τὸ θεῖον, ἀλλ' οὖν γε σύμφορόν ἐστι τῷ κοινῷ βίῳ τὴν ἐκ θεῶν δεισιδαιμονίαν ἐντετηκέναι ταῖς τῶν πολλῶν ψυχαῖς. ὀλίγοι γὰρ δι' ἀρετὴν ἰδίαν δικαιοπραγοῦντες, τὸ δὲ πολὺ φῦλον τῶν ἀνθρώπων νομικαῖς κολάσεσι καὶ ταῖς ἐκ θεοῦ τιμωρίαις ἀπέχεται τῶν κακουργημάτων.

Ὅτι πολλῶν καὶ μεγάλων κακῶν ἐπισυμβάντων τοῖς Σικελιώταις τούτοις ἅπασιν ὁ δημοτικὸς ὄχλος οὐχ οἷον συνέπασχεν, ἀλλὰ τοὐναντίον ἐπέχαιρε προσεπιφθονῶν ἀνίσου τύχης καὶ ἀνωμάλου ζωῆς. ὁ γὰρ φθόνος ἐκ τῆς προγεγενημένης λύπης μετέβαλεν [πεπτωκὼς] εἰς χαράν, ὁρῶν τὸ λαμπρὸν τῆς τύχης μεταπεπτωκὸς εἰς τὸ πρότερον ὑπ' αὐτῆς ὑπερορώμενον σχῆμα, καὶ τὸ πάντων δεινότατον, οἱ μὲν ἀποστάται προνοηθέντες ἐμφρόνως περὶ τοῦ μέλλοντος οὔτε τὰς ἐπαύλεις ἐνεπύριζον οὔτε τὰς ἐν αὐταῖς κτήσεις καὶ καρπῶν ἀποθέσεις ἐλυμαίνοντο, τῶν τε πρὸς τὴν γεωργίαν ὡρμηκότων ἀπείχοντο, οἱ δὲ δημοτικοὶ διὰ τὸν φθόνον ἐπὶ τῇ προφάσει τῶν δραπετῶν ἐξιόντες ἐπὶ τὴν χώραν οὐ μόνον τὰς κτήσεις διήρπαζον, ἀλλὰ καὶ τὰς ἐπαύλεις ἐνεπύριζον.

V. Ὅτι οἱ πλεῖστοι τῶν ἁλόντων βαρβάρων κατὰ τὰς ὁδοιπορίας ἀγόμενοι οἱ μὲν ἑαυτοὺς οἱ δὲ ἀλλήλους 103
ἀνῄρουν, οὐχ ὑπομένοντες τὴν ἐκ τῆς δουλείας ὕβριν. παῖς δέ τις ἄνηβος παραστὰς τρισὶν ἀδελφαῖς κοιμωμέναις διὰ τὸν κόπον ταύτας ἀπέσφαξεν· ἑαυτὸν δὲ οὐ φθάσας ἀνελεῖν ὑπὸ τῶν συλλαβόντων ἀνεκρίνετο δι' ἣν

114. 4. ἐντετηκέναι] ἐντηκέναι ed. Rom.
114. 6. πολὺ φῦλον] πολύφιλον ed. Rom.
114. 13. πεπτωκὼς] delendum.
114. 14. εἰς] incipit codicis p. 228.

114. 5. Confer Scaevolae Varronisque doctrinam apud Augustinum de civ. D. IV. 27. 31. VI. 5. Ceteroqui oportet religionem esse veram, non autem politicam; haec enim postrema, velut inanis umbra dilabitur, et volucri simillima somno. MAI.

114. 24. Suspicor loqui auctorem de captivis Hispanis qui post eversam Numantiam solo patrio abducti fuerunt. De his miserabiliter scribit etiam Appianus hisp. cap. XCVII. Neque enim audiendus est Florus eiusque simius Orosius qui nullum omnino numantinum bello superfuisse aiunt. Illa certe captivitas inter servile bellum oppressum et Tiberii Gracchi interitum (de quo mox Diodorus) contigit, anno urbis DCXXI. Licet etiam suspicari de victoria Bruti in Lusitania, quao in haec fere tempora incidit, cum ab eo sex barbarorum milia capta fuerunt, teste Orosio V. 5. De captivis vero cimbris quominus cogitem, aetas vetat. MAI.

αἰτίαν τὰς ἀδελφὰς ἀπέκτεινε. τούτοις μὲν οὖν ἀπεκρίθη διότι τοῦ ζῆν οὐδὲν ἄξιον αὐταῖς καταλέλειπτο, αὐτὸς δὲ τροφῆς ἀποσχόμενος ἐνδείᾳ κατέστρεψε τὸν βίον.

Ὅτι οἱ αὐτοὶ αἰχμάλωτοι ὡς ἐπὶ τοὺς ὅρους τῆς χώρας κατήντησαν, ῥίψαντες ἑαυτοὺς εἰς ἔδαφος τήν τε γῆν κατεφίλουν μετ᾽ οἰμωγῆς καὶ τῆς κόνεως εἰς τοὺς κόλπους ἀνελάμβανον, ὥςτε εἰς ἔλεον καὶ συμπάθειαν ἐπανατραπῆναι τὸ στρατόπεδον. ἕκαστος γὰρ τοῖς κοινοῖς τῆς φύσεως πάθεσιν ἐχειροῦτο θείῳ φόβῳ θεωρῶν ὅτι καὶ βαρβάρων ψυχαὶ θηριώδεις, ὅταν ἡ τύχη διαζεύγνυσι τὸ σύνηθες ἀπὸ τῆς πατρίδος, ὅμως οὐκ ἐπιλανθάνονται τῆς πρὸς τὴν θρέψασαν γῆν φιλοστοργίας.

VI. καὶ συνέῤῥεον εἰς τὴν Ῥώμην οἱ ὄχλοι ἀπὸ τῆς χώρας ὡςπερεὶ ποταμοί τινες εἰς τὴν πάντα δυναμένην δέχεσθαι θάλατταν. οἱ δὲ ὄχλοι μετεωρισθέντες πρὸς τὸ βοηθεῖν ἑαυτοῖς, νόμον μὲν ἔχοντες ἡγεμόνα καὶ σύμμαχον, προστάτην δὲ ἄρχοντα τὸν μητε χάριτος μητε φόβου δοῦλον, ὑπὲρ δὲ τοῦ τὴν χώραν ἀνακτήσασθαι τῷ δήμῳ πάντα πόνον καὶ κίνδυνον ὑπομένειν κεκρικότα μέχρι τῆς ἐσχάτης ἀναπνοῆς.

ἔχων πλῆθος οὐ νεοσύλλογον καὶ φυλῶδες ἀλλὰ
104 πρακτικώτατον τοῦ δήμου καὶ τοῖς βίοις κάρπιμον. διὸ καὶ τῆς βίας ἐν ἀμφοτέροις τοῖς μέρεσι ταλαντευομένης καὶ τῆς ῥοπῆς δεῦρο κἀκεῖσε πάλιν ἐκκλινούσης, πολλῶν μυριάδων ἠθροισμένων τὰ μέρη βιαίως συνίσταντο καὶ καθάπερ ἐν τῇ θαλάττῃ κυμάτων φαντασίαι καὶ διαθέσεις ἐγίνοντο κατὰ τὰς τοῦ πλήθους ἐκκλησίας.

Ὅτι Ὀκτάβιος μετὰ τὴν καθαίρεσιν οὔθ᾽ ὁμολογῶν ἑαυτὸν ἰδιώτην ὑπάρχειν οὔθ᾽ ὡς ἄρχων τολμῶν πρᾶξαί τι δημαρχικὸν ἔμενε κατὰ τὴν ἰδίαν οἰκίαν ἡσυχάζων. καίτοι γε ἐξῆν αὐτὸν οὕτως ἔχειν ὅτε ὁ Γράκχος εἰςέφερε ψήφισμα περὶ τῆς κατ᾽ ἀρχὴν ἀφαιρέσεως αὐτοῦ κἀκεῖνον ἅμα ψήφισμα κυροῦν περιέχον τὴν ἀφαίρεσιν τῆς Γράκχου δημαρχίας· ἢ γὰρ ἂν ἑκάτεροι κατέστησαν

115. 23. μέρεσι] μέρεσιν ed. Rom.
115. 24. κλινούσης] incipit codicis p. 175.
115. 31. οὕτως] αὕτως ed. Rom.

115. 15. Sermo iam est de comitiis gracchanis populo italico frequentissimis ob sciscendas agrarias leges. MAI.

115. 22. Sermo esse videtur de divitibus agrorum possessoribus, qui Graccho obsistebant. MAI.

115. 34. Immo si Plutarchum in Tib. Graccho cap. XI. audiamus hanc optionem Octavio sponte Gracchus obtulerat. MAI.

ἰδιῶται τῶν ψηφισμάτων ἐννόμων ὄντων ἢ πάλιν διακατεῖχον τὴν ἀρχὴν δοξάντων παρανόμως ἐπενηνέχθαι.

VII. *οὗτος μὲν οὖν ἀμετάπτωτον ἔχων τὴν ἐπὶ τὸν ὄλεθρον ὁρμὴν ταχὺ τῆς προσηκούσης κολάσεως ἔτυχεν. καὶ ὁ Σκιπίων ξύλον ἁρπάσας ἐκ τῶν παρακειμένων — Ὁ γὰρ θυμὸς παντὸς τοῦ δοκοῦντος εἶναι δυσκόλου περιεγένετο.*

Ὅτι προσέπεσε τοῖς περὶ τὸ στρατόπεδον ἡ τοῦ Γράκχου τελευτή, καὶ τὸν Ἀφρικανόν φασιν ἐπιβοῆσαι τοιαῦτα,

ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.

Ὅτι τοῖς καταφαγοῦσι τοὺς ἱερωμένους ἰχθῦς οὐκ ἦν παῦλα τῶν κακῶν· τὸ γὰρ δαιμόνιον ὥσπερ ἐπίτηδες εἰς παραδειγματισμὸν τοῖς ἄλλοις ἅπαντας τοὺς ἀπο- 105
νενοημένους περιεῖδεν ἀβοηθήτους. οὗτοι μὲν οὖν ἀκολούθως τῇ παρὰ θεῶν κολάσει καὶ τῆς διὰ τῆς ἱστορίας βλασφημίας τετευχότες ἀπήλαυσαν τῆς δικαίας ἐπιτιμήσεως.

VIII. *Ὅτι τοῦ Ἀττάλου τοῦ πρώτου βασιλέως χρηστηριαζομένου περί τινος ἐπαυτοματίσαι τὴν Πυθίαν φασὶ*

θάρσει ταυρόκερως, ἕξεις βασιληΐδα τιμὴν
καὶ παῖδες παίδων, τούτων γε μὲν οὐκέτι παῖδες.

116. 16. 17. *τῆς — βλασφημίας*] *τῇ — βλασφημίᾳ* ed. Rom.

116 11. Ex odyssea I. 47. Atque ita habet etiam Plutarchus in Tib. Gracch. XXI. MAI.

116. 12. Diodorus V. 3. iam mentionem fecerat piscium, quibus Arethusae fons abundabat, Dianae sacrorum adeoque intactorum; dixeratque se alibi in historia proprioque in tempore commemoraturum quonam pacto puniti fuerint a vindice numine mortales ii, qui belli necessitate coacti, ac superstitione contempta, sacros illos comedissent pisces. Iamvero in hactenus editis Diodori reliquiis, nusquam, quantum memini, promissam narrationem exsequitur Diodorus; sed nunc demum in his vaticanis excerptis particula praedictae narrationis nobis occurrit. MAI.

116. 22. Etiam Pausanias X. 15, et Suidas voc. *Ἄτταλος tauricornem* vocant Attalum maiorem, quo super titulo videsis Vicecomitis coniecturam in graeca iconographia. Primus hic regium nomen Pergami obtinuit post debellatos Gallograecos. Strab. XIII. 4. MAI.

116. 23. Adamussim Livius XXXIII. 21: *Attalus moriens regnum adeo stabile ac firmum reliquit, ut ad tertiam stirpem possessio eius descenderit.* Revera post eum Attalus II. et Eumenes filii, deinde Attalus III, Attali II. filius regnaverunt: post quem Romani ab ipsomet heredes testamento nuncupati. Causam vero loquendi de primo Attalo obtulit Diodoro postremi mors, quae in haec tempora incidit, nempe anno urbis DCXXI. MAI.

Ὅτι τῆς ἐαρινῆς ὥρας τῇ χλιᾷ τηκούσης τὴν χιόνα, καὶ τῶν καρπῶν ἐκ τοῦ συνεχοῦς πάγου πρὸς τὴν φυὴν καὶ βλάστησιν προϊόντων, τῶν δὲ ἀνθρώπων ἐπὶ τὰς πράξεις ὡρμημένων, ὁ Ἀρσάκης ἀποπειραθῆναι βουλόμενος τῶν πολεμίων πρεσβευτὰς ἀπέστειλε περὶ εἰρήνης, οἷς Ἀντίοχος μετέδωκεν ἀποκρίσεις διότι συγχωρήσει τὴν εἰρήνην, ἐὰν τὸν ἀδελφὸν Δημήτριον ἀπολύσας τῆς αἰχμαλωσίας παραδῷ, τῶν δὲ δυναστειῶν τῶν ἀφῃρημένων ἐκχωρήσῃ, τὴν δὲ πάτριον δυναστείαν ἔχων τελῇ φόρον. ὁ δὲ Ἀρσάκης προςκόψας τῇ βαρύτητι τῶν ἀποκρίσεων ἐπ' αὐτὸν ὥρμησεν.

IX. Ὅτι τῶν τοῦ Ἀντιόχου φίλων παρακαλούντων μὴ συνάπτειν μάχην πρὸς πολλαπλασίους Πάρθους, δύνασθαι γὰρ αὐτοὺς εἰς τὴν ὑποκειμένην ὀρεινὴν κατα-
106 φυγόντας ἀποτρίψασθαι τῇ δυςχωρίᾳ τὸν ἀπὸ τῶν ἵππέων κίνδυνον, ὁ Ἀντίοχος οὐδενὶ τρόπῳ προςεδέχετο τοὺς λόγους ἀποφαινόμενος αἰσχρὸν εἶναι τοὺς νενικηκότας δεδιέναι τὰς τῶν προηττημένων τόλμας. παρακαλέσας οὖν τοὺς μεθ' ἑαυτοῦ πρὸς τὸν κίνδυνον ἀνεδέχετο τὴν τῶν βαρβάρων ἔφοδον εὐρώστως.

Ὅτι κατὰ τὴν Ἀντιόχειαν ἀναμαθόντες τὸν θάνατον Ἀντιόχου οὐ μόνον κοινὸν ἡ πόλις ἐπήρατο πένθος, ἀλλὰ καὶ πᾶς ἰδιωτικὸς οἶκος κατηφείας καὶ θρήνων ἐπληροῦτο, καὶ μάλιστα τοῦ περὶ τὰς γυναῖκας ὀδυρμοῦ τὸ πάθος ἐκκαίοντος. τριάκοντα γὰρ μυριάδων ἀπολο-

117. 9. ἐκχωρήσῃ] ἐκχωρήσει ed. Rom.
117. 9. τὴν] incipit codicis p. 176.
117. 20. εὐρώστως] εὐῤῥώστως ed. Rom.
117. 21. κατὰ] malim οἱ κατὰ.

117. 11. Ad viros heic nominatos quod adtinet, Antiochus est ille cognomento sidetes, quintus decimus Seleucidarum: Demetrius est eius praecessor, Demetrii soteris filius: Arsaces denique Phrahates est hoc nomine secundus. Armeniorum historicus Moses lib. II. 2, et Porphyrius apud Euseb. chron. I. 40, discrepant aliquantulum a Diodoro, quia pugnam saeviente hiemo patratam dicunt. Nunc vero de tempore anni merito dubitavisse Froelichium videmus annal. Seleuc. p. 84, quandoquidem Diodorus ver pro hieme dicit. MAI.

117. 13. Porphyrius praedictusque Moses aiunt Parthorum fuisse CXX milia. Iam Antiochi hominum amissorum quum trecenta milia mox fuisse dicantur, ut veritas historiae constet, sciendum est, ante hanc ipsam fatalem pugnam magnum iam amisisse militum numerum Antiochum, teste Iustino XXXVIII. 10, in persicis urbibus, quae commeatuum praebitione et iniuriis militum gravatae, post eius victorias rebellaverant, et hiemantem eiusdem exercitum per insidias passim trucidaverant; ita ut Antiochus cum parte tantummodo copiarum reliqua Arsaci in acie occurrerit. Lege gallum Valentem in Arsacid. hist. MAI.

μένων σὺν τοῖς ἐκτὸς τῆς τάξεως ἀναβεβηκόσιν οὐκ ἦν εὑρεῖν οἰκίαν ἄμοιρον ἀτυχήματος. αἱ μὲν γὰρ ἀδελφοὺς αἱ δὲ ἄνδρας αἱ δὲ υἱοὺς ἀπολωλότας ἐπένθουν, πολλαὶ δὲ παρθένοι καὶ παῖδες ὀρφανοὶ γεγονότες τὴν ἐρημίαν ἑαυτῶν κατωδύροντο, μέχρις ὅτου τῆς λύπης ὁ κάλλιστος ἰατρὸς χρόνος ἐξέλυσε τὴν ἀκμὴν τοῦ πένθους.

X. Ὅτι Ἀρσάκης ὁ Πάρθων βασιλεὺς καταπεπολεμηκὼς Ἀντίοχον διενοεῖτο καταβαίνειν ἐπὶ τὴν Συρίαν, ἐλπίζων ῥᾳδίως αὐτῆς κυριεύσειν. οὐ μὴν ἐξουσίαν ἀνέλαβε τῆς στρατείας, ἀλλὰ τῷ μεγέθει τῶν ἐπιτετευγμένων ἡ τύχη πολλαπλασίους αὐτῷ κινδύνους καὶ συμφορὰς ἐπέστησεν. οἶμαι γὰρ ἐκ θεοῦ τοῖς ἀνθρώποις οὐδὲν εἰλικρινὲς δίδοται τῶν ἀγαθῶν, ἀλλ᾽ ὡς ἐπίτηδες τοῖς μὲν καλοῖς φαῦλα, τοῖς δὲ κακοῖς ἐπεισάγει τὰ ἀγαθὰ τὸ δαιμόνιον. οὐ μὴν ἡ τύχη γε ἐπελάθετο τῆς ἰδίας φύσεως, ἀλλὰ 107 καθάπερ κοπιῶσα τῷ τοὺς αὐτοὺς συνεχῶς εὖ ποιεῖν τηλικαύτην τὴν παλίῤῥοιαν εἰργάσατο τοῦ πολέμου παντὸς ὥστε τοὺς εὐημεροῦντας εἰς τέλος ταπεινῶσαι.

XI. Ὅτι Ἀρσάκης ὁ τῶν Πάρθων βασιλεὺς ἀλλοτρίως πρὸς Σελευκεῖς διακείμενος καὶ μνησικακῶν ἐπὶ ταῖς ὕβρεσι καὶ ταῖς τιμωρίαις αἷς ἐχρήσαντο κατ᾽ ἐνίου τοῦ στρατηγοῦ, καὶ τῶν Σελευκέων ἀποστειλάντων πρέσβεις καὶ παρακαλούντων συγγνώμης τυχεῖν ἐπὶ τοῖς γεγονόσι καὶ βουλομένων αὐτῶν ἀπόκρισιν λαβεῖν, ἤγαγε τοὺς πρέσβεις ἐπὶ τὸν τόπον οὗπερ Πιτθίδης τυφλὸς

118. 9. *ἀνέλαβε*] praestat *ἔλαβε*.
118. 10. *ἐπιτετευγμένων*] *ἐπιτεταγμένων* ed. Rom.: melius autem deinceps scribetur *αὑτῷν*.
118. 14. *δικαίοις*] Ita cod. MAI. Scripsi *κακοῖς* deleta syllaba male repetita.
118. 16. *εὖ ποιεῖν*] *εὐποιεῖν* ed. Rom.
118. 21. *ἐνίου*] nomen corruptum, sed a quo pariter atque a *Πιτθίδης* v. 25. longius abest Euemerus, quem Diodorus dicit fragm. Vales. p. 603., quam de quo restituendo cogitandum videatur.
118. 22. *τοῦ*] incipit codicis p. 151.

118. 1. Iustinus loc. cit. *luxuriae non minor apparatus quam militiae fuit: quippe* LXXX *milia armatorum secuta sunt* CCC *milia lixarum*. MAI.
118. 14. Praesto adest Iustinus XLII. 1: *Phrahates cum inferre bellum, in ultionem tentati ab Antiocho parthici regni, Syriae statuisset, Scytharum motibus ad sua defendenda revocatur.* Pergit deinde narrare Iustinus Phrahatis infelix cum Scythis bellum eiusque in proelio caedem. MAI.
118. 25. Quaerendum est de hoc Pitthide. Tum de tyrannide seu saevitia, quam in Seleucienses exercuit Phrahatis satrapa, le-

ἐκάθητο ἐπὶ τῆς γῆς ἐκτετυφλωμένος, καὶ προςέταξεν ἀπαγγέλλειν τοῖς Σελευκεῦσιν ὅτι πάντας αὐτοὺς δεῖ τὰ αὐτὰ παθεῖν. οἱ δὲ φοβηθέντες τῶν μὲν προγεγενημένων συμφορῶν ἐπελάθοντο διὰ τὴν ὑπερβολὴν τῶν προςδοκωμένων δεινῶν· ἀεὶ γὰρ καινότης τῶν κακῶν ἀμαυροῦν εἴωθε τὰς προγεγενημένας ἀτυχίας τοῖς ἀνθρώποις.

XII. τὸ δὲ πλῆθος οὐ μόνον λαβόντι τὴν ἀρχὴν ἀλλὰ καὶ μεταπορευομένῳ καὶ πρὸ τοῦ μετιέναι προηκολούθει, καὶ καταπλέοντι ἐκ τῆς Σαρδόνος ἀπήντι ἐκβάντι μετ' εὐφημίας καὶ κρότων ἐδέχετο. τοσαύτη πρὸς αὐτὸν ἦν εὐνοίας ὀχλικῆς ὑπερβολή.

Ὅτι ὁ Γράκχος δημηγορήσας τοῦ καταλῦσαι ἀριστοκρατίαν, δημοκρατίαν δὲ συστῆσαι, καὶ ἐφικόμενος τῆς ἁπάντων εὐχρηστίας τῶν μερῶν, οὐκέτι συναγωνιστὰς ἀλλὰ καθάπερ αὐθέντας εἶχε τούτους ὑπὲρ τῆς ἰδίας τόλμης. δεδεκασμένος γὰρ ἕκαστος ταῖς ἰδίαις ἐλπίσιν
108 ὡς ὑπὲρ ἰδίων ἀγαθῶν τῶν εἰςφερομένων νόμων ἕτοιμος ἦν πάντα κίνδυνον ὑπομένειν. τῶν μὲν γὰρ συγκλητικῶν τὸ δικάζειν ἀφελόμενος καὶ ἀποδείξας τοὺς ἱππεῖς κριτὰς τὸ χεῖρον τῆς πολιτείας τοῦ κρείττονος κύριον ἐποίησε, καὶ τὴν προϋπάρχουσαν τῷ συνεδρίῳ πρὸς τοὺς ἱππεῖς σύμπνοιαν διαστήσας βαρὺν τὸν ὄχλον κατ' ἀμφοτέρων κατεσκεύασε, διὰ δὲ τῆς πάντων διχοστασίας ἑαυτῷ δυναστείαν κατασκευάζων καὶ τὸ κοινὸν ταμεῖον εἰς αἰσχρὰς καὶ ἀκαίρους δαπάνας καὶ χάριτας ἀναλίσκων εἰς ἑαυτὸν πάντας ἀποβλέπειν ἐποίησε, καὶ τῇ μὲν τῶν

119. 2. *Σελευκεῦσιν*] *Σελευκέσιν* ed. Rom.
119. 5. *καινότης*] hoc aegre caret articulo.
119. 9. *ἐκβάντι*] Mallem *ἐκβάντα*. MAI. Cui addenda est copula.
119. 11. *εὐνοίας ὀχλικῆς ὑπερβολή*] Cod. *εὔνοια ὀχλικῆς ὑπερβολῆς*. MAI.
119. 12. *τοῦ*] huic deest *περὶ*.
119. 12. *ἀριστοκρατίαν*] Cod. *ἀριστοκράτην*. MAI.
119. 20. *κύριον*] Cod. *χεῖρον*. MAI. Mox ed. Rom. *ἐποίησεν*.

gendus est Iustinus XLII. 1. et prolog. lib. XLII. et Athenaeus XI, 15. Sed enim Diodorus noster in fragm. ed, vocat hunc ipsum Parthorum regem, non praefectum, cuius verba ingeniose quidem, sed haud scio an vere emendet Valesius in adnotationibus. MAI.

119. 7. Praetermisit eclogarius *Gracchi* nomen. Et quidem sermo est de Caio Graccho, non de Tiberio. Nam Caii fuit praetura sardoa, lex de iudiciis ad equites transferendis, et alia quae infra dicuntur. Lege Plutarchum in Caio Graccho, et Appianum bell. civ. I. MAI.

119. 25. Idem reprehendit in C. Graccho Cicero tuscul. III. 20, de off. II. 21. MAI.

δημοσίων τόλμῃ καὶ πλεονεξίᾳ τὰς ἐπαρχίας ἀποῤῥίψας ἐπεσπάσατο παρὰ τῶν ὑποταττομένων δίκαιον μῖσος κατὰ τῆς ἡγεμονίας, τοῖς δὲ στρατιώταις διὰ τῶν νόμων τὰ τῆς ἀρχαίας ἀγωγῆς αὐστηρὰ καταχαρισάμενος ἀπειθίαν καὶ ἀναρχίαν εἰςήγαγεν εἰς τὴν πολιτείαν· τῶν γὰρ ἀρχόντων καταφρονήσας κατεξανίσταται καινοτομῶν. ἐκ δὲ τούτων τῶν ἐθῶν ὀλέθριος ἀνομία καὶ πόλεως ἀνατροπὴ γίνεται.

XIII. Ὅτι ὁ Γράκχος ἐπὶ τοσοῦτο προέβη δυναστείας καὶ ὕβρεως, ὥςτε τῶν ὄχλων κρινάντων ἐκβαλεῖν τὸν Ὀκταύιον ἐκ τῆς πόλεως ἀφῆκεν αὐτὸν εἰπὼν τῷ δήμῳ ὅτι ταύτην χάριν δίδωσι τῇ μητρὶ προεντετευγμένος ὑπ' αὐτῆς.

Ὅτι ὁ Ποπίλλιος μετὰ δακρύων ὑπὸ τῶν ὄχλων προσεπέμφθη ἐκβαλλόμενος ἐκ τῆς πόλεως. οὐ γὰρ ἠγνόει τὸ πλῆθος τὸ τῆς ἐκβολῆς ἄδικον, ἀλλὰ τὴν κατ' αὐτὸν 109 δωροδοκίαν δεκαζόμενον ἀπεστέρητο τῆς μισοπονηρούσης παῤῥησίας.

Ὅτι ἑπτακαίδεκα φυλαὶ τὸν νόμον ἀπεδοκίμαζον, ἄλλαι δὲ ταύταις ἴσαι παρεδέχοντο· τῆς δὲ ὀκτωκαιδεκάτης διαριθμουμένης μία ψῆφος ὑπερῆρε τῶν κυρούντων τὸν νόμον. τῆς δὲ τοῦ δήμου κρίσεως εἰς οὕτω μικρὰν ῥοπὴν συγκλειομένης ὁ Γράκχος ἠγωνία ὡς ὑπὲρ τοῦ ζῆν κινδυνεύων, τῇ δὲ προςθήκῃ μιᾶς γνώμης μαθὼν

120. 4. *καταχαρισάμενος*] *καταχωρησάμενος* ed. Rom.
120. 6. *καινοτομῶν*] an *καὶ τῶν νόμων?*
120. 10. *κρινάντων*] incipit codicis p. 152.
120. 11. *Ὀκτάνιον*] Ita cod. *Ὀκτάνιον* cum *ν*, non *β*, quod postremum Graeci factitare solent. MAI.
120. 14. *Πόπλιος*] Ita cod. pro *Ποπίλλιος*. MAI.
120. 15. *ἠγνόει τὸ*] *ἠγνοεῖτο* ed. Rom.
120. 16. *τὴν κατ' αὐτὸν δωροδοκίαν*] scribendum puto *τῇ κατ' αὐτοῦ δωροδοκίᾳ*.

120. 4. C. Gracchi lex quaedam militaris recitatur a Plutarcho in eius vita cap. V. MAI.

120. 11. C. Gracchi lege non urbe excludebatur Octavius, sed magistratibus, ut ait Plutarchus cap. IV, qui intercessionem quoque matris Gracchorum memorat. MAI.

120. 15. Popilius hic Laenas est, lege C. Gracchi (Plutarch. loc. cit.) ad vertendum solum coactus, propterea quod in consulatu amicos Gracchorum damnavisset. Huius expulsi meminit Cicero cum in aliis scriptis, tum de rep. I. 3. Gellius vero lib. XI. 13. etiam de Gracchi quadam in Popilium oratione loquitur. MAI.

120. 23. Heic plane agitur de lege qua Tiberius Gracchus tribunatum Octavio collegae abrogavit (Plut. in Tib. Gracch. cap. XII.) Quare non explico cur Diodorus res Tiberii post illas Caii collocet quae recentiores fuerunt. MAI.

ἑαυτὸν νικῶντα μετὰ χαρᾶς ἀνεφθέγξατο Τὸ μὲν ξίφος ὑπόκειται τοῖς ἐχθροῖς, περὶ δὲ τῶν ἄλλων ὡς ἂν ἡ τύχη βραβεύσει στέρξομεν.

XIV. Ὅτι Ἀλέξανδρος μετὰ τὸ ἱεροσυλῆσαι ἔφευγεν ἐπὶ τὸ Ποσίδειον. εἵπετο δὲ αὐτῷ, ὡς ἔοικε, τὸ δαιμόνιον ἀόρατον ἐκ ποδῶν διῶκον καὶ τῇ κατ' αὐτοῦ τιμωρίᾳ συνεργὸν γινόμενον συνέκλεισεν εἰς τὸ τυχεῖν τῆς ἁρμοττούσης δίκης· συλληφθεὶς γὰρ ἀνήχθη πρὸς τὸν Ἀντίοχον εἰς τὴν παρεμβολὴν δυσὶν ἡμέραις ὕστερον τῆς ἱεροσυλίας. οὕτως ἀνέκφευκτος ἡ τιμωρὸς δίκη μετέρχεται τὴν τῶν ἀσεβῶν τόλμαν· ἐγρηγορυῖαι γὰρ διώκουσι τοὺς ἀνοσίους ποιναὶ σύντομον τὴν τιμωρίαν φέρουσαι. ἄρτι γὰρ βασιλεὺς ἦν καὶ τεσσάρων μυριάδων στρατοπεδευουσῶν ἀφηγεῖτο, καὶ δεδεμένος ἐπανήγετο πρὸς ὕβριν καὶ τιμωρίαν πολεμίων.

110 Ὅτι ἀγομένου δεδεμένου διὰ τῆς παρεμβολῆς Ἀλεξάνδρου τοῦ βασιλέως τῆς Συρίας τοῦτο ἄπιστον ἐδόκει τοῖς ἀκούουσιν ἀλλὰ καὶ τοῖς ὁρῶσιν. τὴν γὰρ ἐνέργειαν τῆς αἰσθήσεως τὸ μηδέποτε γενέσθαι προσδοκηθὲν τοὐναντίον ῥέπειν ἐβιάζετο· ἐπεὶ δὲ διὰ τῆς ὁράσεως ἐβεβαιοῦτο τἀληθές, ἅπαντες θαυμάζοντες ἀνέλυον ἀπὸ τῆς θέας οἱ μὲν ἀθρόοις καὶ συμπαθέσι φωναῖς ἐπισημαινόμενοι τὴν τοῦ δαιμονίου δύναμιν, οἱ δὲ ποικίλως ἐπιφθεγγόμενοι τὸ τῆς τύχης ἄστατον, τὸ παλίντροπον τῶν ἀνθρωπίνων, τὴν ὀξύτητα τῆς παλιῤῥοίας, ὡς εὐμετάβολος ὁ βίος, τίς οὐκ ἂν προσεδόκησεν.

121. 2. ἡ] δὴ ed. Rom.
121. 5. Ποσίδειον] Πισίδιον ed. Rom. cum Exc. Vales. p. 604., ubi v. Wesseling.
121. 7. συνεργὸν] σύνεργον ed. Rom.
121. 13. καὶ] Ita cod.; sed malim νῦν. MAI.

121. 5. Agitur de Alexandro II. cognomento Zabina, Syriae rege. Iamvero in valesianis quoque fragmentis p. 604. is rex dicitur post sacrilegam direptionem fugisse Pisidium. Igitur valesiano fragmento prorsus subtexendum est vaticanum hoc, in quo narratio supremi fati continuatur, quae res deest in valesianis. Diodorum illustrat Iustinus XXXIX. 2: *Alexander victus et inops pecuniae, cum stipendia militibus deessent, templo Iovis solidum ex auro victoriae signum tolli iubet, facetis iocis sacrilegium circumscribens; nam victoriam commodatam sibi ab Iove esse dicebat. Interiectis deinde diebus, cum ipsius Iovis aureum simulacrum infiniti ponderis tacite evelli iussisset, deprehensusque in sacrilegio concursu multitudinis esset in fugam versus, magna vi tempestatis oppressus, ac desertus a suis, a latronibus capitur; perductusque ad Grypum* (Syriae legitimum regem) *interficitur.* MAI.

"Οτι ὁ Φλάκκος . . . ἔφυγεν . . . ἀνδράποδα . . . [*in margine* περὶ Κορδίσκων] . . . σθαι τῆς

"Οτι . . . τὴν Ῥώμην ἐπικρατεῖν . . . "Οτι ἡ φρόνησις . . . τῆς τύχης . . . λῶς . . . πολλάκις ἡ ταύτης . . . τὰς ἁπάντων ἐλπίδας . . . .

"Οτι ὁ βασιλεὺς τῶν Νομάδων Ἰογόρθας θαυμάσας τὴν ἀνδραγαθίαν τῶν Ῥωμαίων . . . αὐτῶν ἐπαινέσας ἐν τῷ . . .

ψιλοῖς ἀπεφήνατο διότι τούτοις λόγοις . . . ἐπὶ διὰ ταύτης τῆς Λιβύης . . .

XVI. . . . Κάρβωνος καὶ Σιλανοῦ· τοσούτου δὲ πλήθους ἀνῃρημένου οἱ μὲν υἱοὺς οἱ δὲ ἀδελφοὺς ἐπέν- 111

122. 1. ὅτι] incipit codicis p. 353.
122. 11. Κάρβωνος] incipit codicis p 245.

122. 1. Diodori Vaticani quaternio ultimus incommodam lacunam nobis exhibet; nam folii extimi prior pars, paginis duabus 353. 354. constans, ita oblitterata est, ut in recta pagina pauca verba legi possint, in aversa nihil omnino. Posterior folii pars periit, quia avulsa olim fuit ab eo qui codicem rescripsit; ideoque folium non par sed solitarium mansit. Ergo ut de parte priore utcumque superstite loquar, id sine dubio folium ad hunc postremum quaternionem pertinet, atque eius materia omnino interiacet inter Alexandri Zabinae obitum et Carbonis atque Silani cruentum consulatum. Nam Flacci, sive is Valerius est sive Fulvius, et res Iugurthae, quae in fragmento occurrunt, in id tempus incidunt.

Ibid. Equidem si agitur de Fulvio Flacco, is in officinam fuga elapsus, iussu Opimii consulis interfectus fuit. Appian. bel. civ. I. 26. Sin de Valerio Flacco, is a Fimbria pariter occisus in Asia fuit, teste Paterculo II. 23, quo in loco Paterculus de Curbonis quoque consulatu loquitur, qui mox in vaticanis excerptis occurrit. MAI.

122. 2. Brevem sermonem de Cordiscis (sive Scordiscis) fuisse in hac pagina a v. 6. ad 10. docet nos inscriptio in margine, quam tamen ipse textus legi nequeat. Erat autem revera hic locus loquendi de Scordiscis, contra quos paulo ante susceptum iugurthinum bellum Romani malam pugnam pugnaverunt anno urbis DCXL. Florus III. 4: *Saevissimi omnium Thracum Scordisci fuere etc. Funis non modo ab his et fugatus, sed totus interceptus exercitus, quem duxerat Cato.* MAI.

122. 6. Ἰογόρθας] Ita scribitur per ο, non per ου, nomen hoc apud Diodorum etiam in fragm. ed. p. 604. 605, qui locus editus extat post Alexandri Zabinae res, uti etiam in vaticanis excerptis. Quare vaticani folii propriam heic esse sedem certo cognoscimus. MAI.

122. 11. Consulatus Carbonis cum Silano scribitur apud antiquum interpretem Ciceronis à me Mediolani editum in prohoemio ad orationem Tullii pro Archia. Iamvero Silanum credendum esse suffectum consulem anno urbis DCLXX, post Cinnae consulis caedem, erudite olim me admonebat vir clari in litteris nominis. Sed ecce obstat Paterculus II. 24, qui narrata Cinnae consulis caede, diserte addit: *Carbo, nullo suffecto collega, solus toto anno consul fuit.* Sed pace Paterculi, Silani certe consulatus in fastos recipien-

θουν, τινὲς δὲ πατέρων ὀρφανοὶ παῖδες ἀπολελειμμένοι τὴν τῶν γονέων ἀπώλειαν καὶ τὴν Ἰταλίας ἐρημίαν κατωδύροντο, πλεῖσται δὲ γυναῖκες ἀνδρῶν ἐστερημέναι χηρείας ἀτυχοῦς ἐλάμβανον πεῖραν. ἡ δὲ σύγκλητος μεγαλοψύχως φέρουσα τὴν συμφορὰν τά τε πολλὰ πένθη καὶ τὴν ὑπερβολὴν τῶν κλαυθμῶν τὸ πολὺ κατέστελλε καὶ τὴν ἐπὶ τῇ συμφορᾷ λύπην ἐπικρυπτομένη βαρέως ἔφερεν.

Ὁ Λούκουλλος ὁ στρατηγὸς πυθόμενος διαβεβηκέναι τὸν πορθμὸν Σερουίλιον Γάϊον στρατηγὸν ἐπὶ τὴν διαδοχὴν τοῦ πολέμου τούς τε στρατιώτας ἀπέλυσε καὶ περιχάρακας καὶ τὰς κατασκευὰς ἐνέπρησε, βουλόμενος τὸν διαδεχόμενον τὴν ἀρχὴν μηδεμίαν ἔχειν ἀξιόλογον ἀφορμὴν εἰς τὸν πόλεμον. βλασφημούμενος γὰρ ἐπὶ τῷ δοκεῖν τὸν πόλεμον αὔξειν ὑπελάμβανε τῇ τούτου ταπεινώσει καὶ ἀδοξίᾳ καὶ τὴν τούτου κατηγορίαν καταλύσειν.

123. 12. περιχάρακας] forma inusitata: nam χάρακας dici solet aut περιχαρακώματα.
123. 12. βουλόμενος] βουλόμενον ed. Rom.
123. 15. αὔξειν] ἄξειν ed. Rom.

dus est; nullus autem aptior ei locus videtur, quam ea, de qua diximus, post Cinnae caedem suffectio; ita ut Silanus consul fuerit cum Carbone II. Rem fastographi nostri diligentius perpendant, atque ad liquidum deducant. MAI.

123. 9. Hic est Lucius Lucullus, pater illius qui Ciceronis aetate luxu claruit. Lucius bellum servile in Sicilia male gessit, uti satis innuitur etiam in fragmentis Diodori editis libri XXXVI. p. 536, unde etiam constat vaticanum hoc fragmentum pertinere ad eundem librum. MAI.

123. 15. Ita etiam in fragm. ed. sed aliis verbis. Notabile vero est quod idem crimen protracti belli obiectum fuit Lucullo filio adversus Mithridatem pugnanti. Appian. mithr. cap. XC, et Symmach. orat. I. in Valentin. cap. XVI. MAI.

L. XXXVII. XXXVIII. XXXIX. XL.

1. Ἀφ' ὧν χρόνων αἱ τῶν ἀνθρώπων πράξεις διὰ τῆς 112 ἱστορικῆς ἀναγραφῆς εἰς αἰώνιον μνήμην παρεδόθησαν μέγιστον ἴσμεν πόλεμον τὸν Μαρσικὸν ὀνομασθέντα ἀπὸ Μαρσῶν. οὗτος γὰρ πάντας τοὺς προγεγονότας ὑπερεβάλετο ταῖς τῶν στρατηγῶν ἀνδραγαθίαις καὶ τῷ μεγέθει τῶν πράξεων. τὸν γὰρ Τρωικὸν πόλεμον καὶ τὰς τῶν ἡρώων ἀρετὰς ὁ ἐπιφανέστατος τῶν ποιητῶν Ὅμηρος εἰς ὑπερβολὴν δόξης ἐτραγῴδησεν· ἐν ᾧ τῆς Εὐρώπης πρὸς τὴν Ἀσίαν διαπολεμούσης καὶ τῶν μεγίστων ἠπείρων ὑπὲρ τῆς νίκης διαφιλοτιμουμένων τοιαῦται πράξεις ὑπὸ τῶν ἀγωνιζομένων συνετελέσθησαν ὥστε τοῖς ἐπιγενομένοις ἀνθρώποις ἐμπλησθῆναι τὰ θέατρα μυθικῶν καὶ τραγικῶν ἀγωνισμάτων. ἀλλ' ὅμως ἐκεῖνοι μὲν ἔτεσι δέκα τὰς ἐν τῇ Τρῳάδι πόλεις κατεπολέμησαν, Ῥωμαῖοι δὲ ὕστερον χρόνοις μιᾷ παρατάξει νικήσαντες Ἀντίοχον τὸν μέγαν τῆς Ἀσίας κύριοι κατέστησαν. μετὰ δὲ τὰ Τρωικὰ τοῦ Περσῶν βασιλέως στρατεύσαντος ἐπὶ τὴν Ἑλλάδα καὶ διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους τῶν ἀκολουθούντων αὐτῷ στρατιωτῶν ἀναξηραινομένων τῶν 113 ἀεννάων ποταμῶν ἡ Θεμιστοκλέους στρατηγικὴ σύνεσις μετὰ τῆς τῶν Ἑλλήνων ἀρετῆς τοὺς Πέρσας κατεπολέμησεν. κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς Καρχηδονίων τριάκοντα μυριάσιν ἐπὶ τὴν Σικελίαν στρατευσάντων Γέλων ὁ Συρακουσίων ἀφηγούμενος ἑνὶ στρατηγήματι καὶ

124. 19. *ἀναξηραινομένων*] *ἀναξηραιμένων* ed. Rom. Deinde *ἀενάων* an *ἀεννάων* scribendum sit in hoc scriptore non liquet.
124. 20. *στρατηγικὴ*] incipit codicis p. 246.

124. 2. Similis sententia sed aliis verbis expressa lib. XXXIII. 1. MAI.
124. 4. Tam in photianis eclogis quam in valesianis bellum marsicum collocatur in XXXVII. libro. Ego vero narrationis librique ut arbitror ipsum exordium nunc e vaticano codice edo. Imitatur sane Diodorus Thucydidem qui sio loquitur de peloponnesiaci belli magnitudine. Nequis vero exaggeratam huius belli magnitudinem putet, testis adest Paterculus qui lib. II. 15, ait id bellum amplius CCC milia iuventutis italicae abstulisse. MAI.

ἀκαρεῖ χρόνῳ διακοσίας ναῦς ἐνέπρησε καὶ δεκαπέντε μυριάδας πολεμίων ἐν παρατάξει κατακόψας τὰς ἴσας ἐζώγρησεν. ἀλλ' ὅμως οἱ τὸν Μαρσικὸν πόλεμον διαπολεμήσαντες Ῥωμαῖοι τοὺς ἀπογόνους τῶν τὰς τηλικαύτας πράξεις ἐπιτελεσαμένων κατεπολέμησαν. ἑξῆς δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος ὑπερβαλλούσῃ συνέσει καὶ ἀνδρείᾳ τῶν Περσῶν τὴν ἡγεμονίαν καταπολεμήσαντος Ῥωμαῖοι κατὰ τοὺς νεωτερικοὺς καιροὺς δορίκτητον ἐποιήσαντο τὴν Μακεδονίαν. Καρχηδὼν δὲ περὶ τῆς Σικελίας ἔτη τέσσαρα καὶ εἴκοσι πολεμήσασα τῇ Ῥώμῃ καὶ πλείστας καὶ μεγίστας ἀγωνισαμένη παρατάξεις καὶ ναυμαχήσασα τότε μὲν τῷ βάρει τῆς τῶν Ῥωμαίων ἡγεμονίας κατεπολεμήθη, μετ' ὀλίγον δὲ τὸν Ἀννιβιακὸν κληθέντα πόλεμον συστησαμένη παρατάξεσι καὶ ναυμαχίαις καὶ πολλαῖς περιβοήτοις πράξεσι νικήσασα, στρατηγὸν ἔχουσα πρωτεύοντα κατ' ἀρετὴν Ἀννίβαν, τελευταῖον ὑπό τε τῶν Ῥωμαίων καὶ τῆς τῶν Ἰταλῶν ἀνδραγαθίας καὶ τῆς Σκιπίωνος ἀρετῆς κατεπολεμήθη. Κίμβρους δὲ ταῖς μὲν ὄψεσι γίγασι παρεμφερεῖς, ταῖς δὲ ἀλκαῖς ἀνυπερβλήτους· οὗτοι γὰρ πολλὰς καὶ μεγάλας Ῥωμαίων δυνάμεις κατακόψαντες καὶ μυριάσι τεσσαράκοντα τὴν ἐπὶ Ἰταλίαν στρατείαν στειλάμενοι ταῖς τῶν Ῥωμαίων ἀνδραγαθίαις ἄρδην κατεκόπησαν. διὸ τοῦ πρωτείου κατὰ τὰς ἐν τοῖς
114 πολέμοις ἀνδραγαθίας ἐκ τῶν ἀποτελεσμάτων κριθέντος ὑπάρχειν παρὰ Ῥωμαίοις καὶ τοῖς τὴν Ἰταλίαν οἰκοῦσιν ἔθνεσιν ἡ τύχη καθάπερ ἐπίτηδες τούτους εἰς διάστασιν ἀγαγοῦσα τὸν ὑπερβάλλοντα τῷ μεγέθει πόλεμον ἐξέκαυσεν. ἐπαναστάντων γὰρ τῶν κατὰ τὴν Ἰταλίαν ἐθνῶν

125. 1. *διακοσίας*] *δισχιλίας* mendose libri Diodori XI. 20., *διακοσίας* recte XI. 1.
125. 8. *δορίκτητον*] *δορύκτητον* ed. Rom.
125. 13. *Ἀννιβιακὸν*] Ita cod. Et quidem *ἀννιβιακὸς* pro *ἀννιβαϊκὸς* habent etiam Appiani codices praef. cap. XIV. MAI.
125. 18. *Κίμβρους*] *Κυμβροὺς* ed. Rom. et *τοὺς* loco proximi *ταῖς*. Sed manca est sententia.

125. 3. Lege Diodorum nostrum XI. 22. MAI.
125. 5. Siculos nimirum perdomuerant Romani. Atque hinc cognoscere videmur bellum sociale ad Siculos quoque pertinuisse. MAI.
125. 19. Sic de Cimbris etiam Plutarchus in Mario cap. XXIII *ὥσπερ οἱ γίγαντες*. **MAI.**
125. 21. Duplicare videtur Cimbrorum numerum Diodorus, quorum plerique historici ducenta tantum milia perhibent. Sed enim fortasse Diodorus cum Cimbris numerat Tigurinos atque Ambrones, quos alio proelio vicit idem qui Cimbros Teutonasque Marius. Ait vero Orosius V. 17: ***in his duobus proeliis CCCXL milia Gallorum occisa, et CXL. milia capta sunt.*** **Verum in his quoque variant historici. MAI.**

τῇ τῆς Ῥώμης ἡγεμονίᾳ καὶ τῶν ἐξ αἰῶνος ἀρίστων κεκριμένων ἐλθόντων εἰς αἵρεσιν καὶ φιλοτιμίαν ὁ γενόμενος πόλεμος εἰς ὑπερβολὴν μεγέθους κατήντησεν, ὃς ὠνομάσθη Μαρσικὸς ἀπὸ τῶν ἀρχηγῶν γενομένων τῆς ἀποστάσεως Μαρσῶν.

II. Ὅτι Μάρκος Κάτων, ἀνὴρ σώφρων καὶ ἀγωγῇ καλῇ διαφέρων, ἐν συγκλήτῳ κατηγορῶν τῆς ἐπιπολαζούσης ἐν τῇ Ῥώμῃ τρυφῆς ἔφησεν ἐν μόνῃ τῇ πόλει ταύτῃ τὰ μὲν κεράμια τῶν Ποντικῶν ταρίχων ὑπάρχειν τιμιώτερα τῶν ζευγηλατῶν, τοὺς δ' ἐρωμένους τῶν ἀγρῶν.

Ὅτι φησὶν ὁ ἱστορικὸς Διόδωρος, Μνησθήσομαί τινων παραδείγματος ἕνεκα καὶ ἐπαίνου δικαίου καὶ τῷ κοινῷ βίῳ συμφέροντος, ἵν' οἱ μὲν πονηροὶ τῶν ἀνθρώπων διὰ τῆς κατὰ τὴν ἱστορίαν βλασφημίας ἀποτρέπωνται τῆς ἐπὶ τὴν κακίαν ὁρμῆς, οἱ δὲ ἀγαθοὶ διὰ τοὺς ἐκ τῆς αἰωνίου ζωῆς ἐπαίνους ἀντέχεσθαι τῶν καλῶν ἐπιτηδευμάτων ὀρέγωνται.

Ὅτι τὸ προϋπάρχον εἰς τὴν ἡγεμονίαν μῖσος ἡ τοῦ στρατηγοῦ σύνεσις καὶ ἀρετὴ τοῖς ἐνδεχομένοις βοηθήμασι διωρθώσαντο, καὶ παρὰ μὲν τοῖς εὐεργετηθεῖσι 115 τιμῶν ἰσοθέων ἔτυχε, παρὰ δὲ τῶν πολιτῶν πολλὰς ἀμοιβὰς τῶν κατορθωμάτων ἀπέλαβε.

III. Ῥητέον δὲ ἡμῖν καὶ περὶ τῶν ἐκ ταπεινοτέρας μὲν δόξης ὁρμηθέντων, ὀρεχθέντων δὲ τῆς ἑτέρας ἐπι-

126. 6. ὅτι] incipit codicis p. 233.
126. 8. ἔφησεν ἐν] ἔφησεν ed. Rom., quae mox ταρύχων.
126. 10. ἐρομένους] Cod. ῥωμαίους. MAI. Caeterum δὲ ed. Rom.
126. 14. ἀποτρέπωνται] ἀποτρέπονται ed. Rom.
126. 15. ἐπὶ τὴν κακίαν] ἀπὸ τῆς κακίας ed. Rom.
126. 16. τοὺς] Cod. τῆς. MAI.
126. 17. ὀρέγωνται] ὀρέγονται ed. Rom.
126. 20. διωρθώσαντο] Ita cod. MAI.
126. 24. δόξης] τύχης exspectaveram. Diodorus l. II. c. 4. ἐκ ταπεινῆς τύχης εἰς τηλικαύτην προήχθη δόξαν.

126. 5. Lege Appianum bell. civ. I. 38. MAI.

126. 10. Extat aliis verbis narratiuncula haec lib. XXXII. 1. in excerptis vaticanis; sed ibi dicitur Cato in populi concione locutus, heic in senatu. Neque abhorret a more queruli mordacisque senis Catonis, ut rem eandem bis dixerit. Nonne vero ipse Cicero tum in curia tum coram populo, post suum ab exilio reditum, eiusdem ferme sententiae orationem pronunciavit? MAI.

126. 17. Familiaris Diodoro consuetudo laudibus et vituperationibus aeque indulgendi, quam alibi iam notavimus. MAI.

126. 22. Incertum est de quo homine locutus hoc loco Diodorus fuerit; namque eclogarius, noxio sane historiae consilio, politica sententia contentus fuit. MAI.

βολῆς τῶν προειρημένων. ἐπ' ἴσης γὰρ τοῖς ἐν ἀξιώμασι μεγάλοις καὶ τοῖς ὑποδεεστέροις τῆς ἀρετῆς ζῆλος ἔγκειται.

Ὅτι ἀπειλούσης τῆς συγκλήτου πόλεμον τῷ Γράκχῳ διὰ τὴν μετάθεσιν τῶν κριτηρίων τεθαῤῥηκότως οὗτος εἶπεν ὅτι κἂν ἀποθάνω, οὐ διαλείψω τὸ ξίφος ἀπὸ τῆς πλευρᾶς τῶν συγκλητικῶν διῃρημένον. ὁ δὲ ῥηθεὶς λόγος ὥςπερ τις θεοῦ χρησμὸς ἀκόλουθον ἔσχε τοῖς ῥηθεῖσι τὸ ἀποτέλεσμα. ὁ γὰρ Γράκχος τύραννον ἑαυτὸν ἀναδεδειχὼς ἀκρίτως ἀνῃρέθη.

Ὅτι πλεῖστον ἴσχυεν ἡ τῶν Δρούσων οἰκία διὰ τὴν εὐγένειαν τῶν ἀνδρῶν καὶ διὰ τὴν πρὸς τοὺς πολίτας ἐπιείκειαν καὶ φιλανθρωπίαν. διὸ καὶ νόμου τινὸς προκειμένου καὶ προςφάτως κεκυρωμένου τῶν πολιτῶν τις ἐν παιδιᾷ τῷ νόμῳ προςέγραψεν ὅτι ὅδε νόμος κύριός ἐστι τῶν πολιτῶν πλὴν δυοῖν Δρούσων.

116 IV. *Ὅτι ὁ Δροῦσος, τῆς συγκλήτου τοὺς νόμους αὐτοῦ ἀκυρούσης ἔφη ἑαυτὸν ἐξουσίαν ἔχοντα πᾶσαν*

126. 6. *εἶπεν*] *εἶπε* ed. Rom.
126. 7. *διῃρημένον*] an *διῃρημένος*?
127. 16. *Δρούσων*] *τρόπων* codex.

127. 3. Haec apte quadrarent in Marium, nisi is tempore posterior foret. MAI.

127. 5. Agitur de iuniore Graccho, qui tamen triginta annis ante Drusi iunioris res bellumque sociale obierat. Existimo autem heic obiter Gracchi mentionem extraque propositum fieri, ut saepe in historia accidit. Neque enim dubitare licet, quin belli socialis prohoemium a nobis suprascriptum, iusto in loco collocatum fuerit; id quod ratio quaternionis evidenter docet; nam nisi folium isto in loco ponatur, id propter suam cum pompeianarum rerum folio physicam connexionem, post explicitum sociale bellum absurde collocandum esset: tum etiam paginae 240 cum p. 259 nexus, satis probabilis, immo meo iudicio evidens, foret disturbandus. Sed enim et alia excusatio suppetit; mos videlicet in his excerptis non infrequens, atque a nobis saepe notatus, res easdem repetendi; quo vitio fortasse contigit ut hic de Graccho minore tractus extra sedem suam vagetur; uti et ille paulo ante scriptus de Catone maiore. MAI.

127. 10. C. Gracchi potentiam tyrannicam notat etiam Plutarchus in eius vita cap. VI. Erat autem Poplicolae vetusta lex ut tyrannus indicta causa a quovis occideretur. Plut. in Poplic. cap. XII. MAI.

127. 16. *Δρούσων*] Cod. *τρόπων*; sed enim plane videbatur scribendum *Δρούσων*. Intelligitur autem Drusus ille qui cum C. Graccho in tribunatu certavit, ut ait Plutarchus; itemque illius filius multo adhuc clarior, qui incognita manu periit anno urbis DCLXIII, oriente bello sociali. MAI.

127. 17. De hoc Druso filio Plinius XXXIII. sect. 6: *inter Caepionem et Drusum ex anulo in auctione venali, inimicitiae coepere; unde origo socialis belli et exitia rerum.* MAI.

τῶν νόμων δυνάμενόν τε ἑαυτὸν κωλῦσαι δόγματα γράφειν τοῦτο μὲν ἑκουσίως μὴ ποιήσειν, καλῶς εἰδότα τοὺς ἐξαμαρτήσαντας ταχὺ τευξομένους τῆς προσηκούσης δίκης. ἀκυρουμένων δὲ τῶν ὑφ' αὐτοῦ γραφέντων νόμων ἄκυρον ἔσεσθαι καὶ τὸν περὶ τῶν κριτηρίων νόμον· οὗ συντελεσθέντος τὸν μὲν ἀδωροδοκήτως βεβιωκότα μηδεμιᾶς τεύξεσθαι κατηγορίας, τοὺς δὲ τὰς ἐπαρχίας σεσυληκότας ἀχθήσεσθαι πρὸς τὰς τῆς δωροδοκίας εὐθύνας· ὥςτε τοὺς διὰ φθόνον καθαιροῦντας τὴν ἑαυτοῦ δόξαν τοῖς ἰδίοις δόγμασι καθάπερ αὐτόχειρας κινδυνεύειν.

